ἄλλος, ἄλλη, ἄλλο, *other, another;* with the article, *the other, the rest of.*

δασμός, οῦ, ὁ, *tax, tribute.*

ἱκανός, ή, όν, *sufficient, able, capable.*

λοχᾱγός, οῦ, ὁ, *captain.*

οὖν, conj., *therefore, then, so* (a postpositive).

σπονδή, ῆς, ἡ, *libation;* plur., *truce.*

συμ-πέμπω, *send with.*

τοξεύω, ἐτόξευσα (*cf.* τόξον, τοξότης), *use one's bow, shoot.*

φρούραρχος, ου, ὁ, *commander* of a garrison.

ὧδε, adv., *thus, as follows.*

151. 1. τὸν φρούραρχον ἐπεπαίκεσαν. 2. Κῦρος οὖν τῷ ἀδελφῷ κακὸν[1] ἐβούλευεν. 3. οἱ νεανίαι τόξα μακρὰ ἤχεσαν καὶ σφενδόνας ἀγαθάς. 4. καὶ ὁ στρατηγὸς ἐστράτευσεν ἐπὶ τὴν τοῦ σατράπου χώραν. 5. συνεπέμπομεν τῷ στρατηγῷ ἄλλους στρατιώτας ἀγαθούς. 6. ἐπεὶ ἔλυσαν τὰς σπονδάς, τὰς κώμας διαρπάσομεν. 7. οἱ δὲ βάρβαροι ἐτόξευσαν ἀπὸ τῶν ἵππων. 8. τὸν λοχαγὸν ὧδε ἦγον πρὸς τὸν Κλέαρχον. 9. ὁ γὰρ Ἀρταξέρξης ἐκεκελεύκει τὸν σατράπην δασμοὺς πέμπειν. 10. στρατιώτας ἐν τῷ ἰσχυρῷ χωρίῳ εἴχετε ἱκανοὺς τὰς κώμας διαρπάζειν.[2]

152. 1. I had collected hoplites and bowmen as follows. 2. They planned evil for the others. 3. The hoplites with Cyrus were plundering the wagons. 4. Both generals and captains had sacrificed. 5. He bade the satrap send gifts.

NOTES. — [1] κακόν, *evil*, neuter singular of κακός used as a noun. — [2] Dependent on ἱκανούς, *enough to plunder.*

153.   Cyrus begins to take Active Measures.

τὴν δὲ στρατιὰν τὴν Ἑλληνικὴν ὧδε ἤθροιζε· τοὺς τῶν φυλακῶν φρουράρχους κελεύει ἀθροίζειν στρατιώτας Πελοποννησίους· ἐνόμιζε γάρ, ὡς (*as*) ἔλεγε, Τισσαφέρνην ἐπιβουλεύειν τῇ ἀρχῇ. καὶ ἡ μὲν ἄλλη Ἰωνία
5 τότε τῷ Κύρῳ φιλία καὶ πιστὴ ἦν, Μίλητος δὲ πολεμία. Κῦρος οὖν τὴν Μίλητον πολιορκεῖ καὶ κατὰ (*by*) γῆν (*land*) καὶ κατὰ θάλατταν.

NOTES. — 3. **Τισσαφέρνην ἐπιβουλεύειν**: translate, *that Tissaphernes was plotting against.* — 4. **μέν**: see the general vocabulary. — 6. **πολιορκεῖ**: by contraction for πολιορκέει, present third singular of πολιορκέω, *besiege.*

LESSON XVII.

Demonstrative Pronouns. — αὐτός.

154. The principal demonstrative pronouns are **οὗτος**, *this*, Latin *hīc*, **ὅδε**, *this*, and **ἐκεῖνος**, *that*, Latin *ille*.

155. The pronoun **αὐτός** is properly intensive, *self*, Latin *ipse*.

156. Learn the declension of **οὗτος**, **ὅδε**, and **ἐκεῖνος** in 762, and of **αὐτός** in 759.

157. These pronouns are declined, in the main, like adjectives of the vowel declension (126 ff.); ὅδε is declined like the article (758), with the enclitic suffix **δε** added.

158. When a demonstrative pronoun agrees with a noun, it takes the article, and stands either before or after both article and noun, not between them.

159. 1. *ἐκεῖνος*, *that* (yonder), is used of something remote ; *ὅδε*, *this* (here), of something near or present.

2. *οὗτος* is used in referring to something which has already been mentioned ; *ὅδε*, in referring to something which is about to be mentioned.

Thus: οὗτος ὁ στρατηγὸς or ὁ στρατηγὸς οὗτος ἀγαθὸς ἦν, *this general* (one already mentioned) *was brave;* ἔλεξε τάδε, *he said this, i.e. he spoke as follows;* ἐν ἐκείνῃ τῇ κώμῃ θύσομεν, *we will offer sacrifice in that village* (yonder).

160. In all its cases αὐτός may mean *self;* when preceded by the article it means *same;* in its oblique cases it may mean *him, her, it, them.*

Thus: αὐτὸς ὁ στρατηγὸς ἔλεξε ταῦτα, *the general himself said this,* but ὁ αὐτὸς στρατηγὸς ἔλεξε ταῦτα, *the same general said this;* θύσω αὐτός, *I myself will offer sacrifice;* οἱ στρατιῶται αὐτοὺς ἔπαιον, *the soldiers struck them.*

161.   **VOCABULARY.**

Ἀρίστιππος, ου, ὁ, *Aristippus.*

αὐτός, ή, ό, pron., *self, same, him, her, it.*

ἐκεῖνος, η, ο, pron., *that.*

ἐπιβουλή, ῆς, ἡ (cf. ἐπιβουλεύω), *plot, scheme, design.*

Θετταλός, οῦ, ὁ, *a Thessalian.*

λέγω, λέξω, ἔλεξα (cf. λόγος), *say, speak, tell, state, report.*

μετά, prep.: with gen., *with, in company with;* with acc., *behind, after.*

ξένος, ου, ὁ, *stranger, "guest friend," guest, host.*

ὅδε, ἥδε, τόδε (cf. ὧδε), pron., *this, the following.*

οὗτος, αὕτη, τοῦτο (cf. οὕτως), pron., *this.*

τέ, conj., *and* (enclitic and postpositive); τε . . . καί, *both . . . and.*

162. 1. αὗται αἱ οἰκίαι θύρᾱς ἔχουσι.   2. οὗτοι οἱ στρατιῶται ἔπαιον τὸν ξένον.   3. Ἀρίστιππος δὲ ὁ Θετταλὸς ξένος ἦν αὐτῷ.   4. μετὰ δὲ τοῦτον Κλέαρχος αὐτὸς ἔλεξε τάδε.   5. καὶ ἤθροιζον τοὺς πελταστὰς οὕτως οὗτοι.   6. τὰ αὐτὰ ταῦτα[1] βουλεύουσι.   7. καὶ κελεύει αὐτοὺς λέγειν ταῦτα.   8. αὕτη ἡ ἐπιβουλὴ οὐκ ἦν φανερᾱ́.   9. οὗτος δὲ

No. 10.   πελταστής.

ὁ αὐτὸς κελεύει ἐκείνους ἁρπάζειν τὴν χώρᾱν.   10. ταῦτα ἔλεξε Κλέαρχος · οἱ δὲ στρατιῶται, οἵ τε[2] αὐτοῦ[3] ἐκείνου καὶ οἱ ἄλλοι, ἐκέλευον αὐτὸν ἄγειν τὴν στρατιάν.

163. 1. These soldiers were friendly.   2. Cyrus sent these soldiers their pay.   3. But the general spoke to them as follows.   4. They conduct him to the same general.

NOTES. — [1] τὰ αὐτὰ ταῦτα, *these same* (*plans*), a *cognate* accusative (833). — [2] οἵ τε, *both the* (*soldiers*). The proclitic οἱ receives an accent from the following enclitic. — [3]Agrees with ἐκείνου, and = *ipsīus.*

164.   He hoodwinks the King.

οὕτως οὖν ἐπὶ Μίλητον τὴν στρατιὰν ἤθροιζεν ὁ Κῦρος. πρὸς δὲ τὸν ἀδελφὸν ἀγγέλους ἔπεμψε καὶ ἔλεξε τάδε· "ἐπιθῡμῶ, ὦ Ἀρταξέρξη, καὶ (*also*) τῆς Ἰωνίᾱς σατρα-πεύειν, Τισσαφέρνην δ᾽ ἐκ τῆς χώρᾱς ἐκβάλλειν." καὶ ἡ
5 μήτηρ συμπράττει αὐτῷ ταῦτα.   ὥστε οὐχ ὑποπτεύει ὁ Ἀρταξέρξης τὴν τοῦ Κύρου ἐπιβουλήν· ἀπέπεμπε γὰρ αὐτῷ τοὺς δασμοὺς ἐκεῖνος.

NOTES. — 3. ἐπιθῡμῶ: by contraction for ἐπιθῡμέω, *I desire.* — Ἰωνίᾱς: the genitive follows verbs signifying *to rule* (847). — 5. συμ-πράττει: *does this with him,* i.e. *coöperates with him in this* (865).

No. 11.   Ancient Persians.

LESSON XVIII.

Present and Imperfect Indicative of εἰμί, *be.*

165. Learn the conjugation of the present and imperfect indicative of εἰμί, *be*, in 795.

166. All the forms of the *present* indicative of εἰμί are enclitic except εἶ. The third singular ἐστί takes ν-movable (17) like words in σι. Further, ἐστί becomes ἔστι :

1. At the beginning of a sentence, as ἔστι δὲ Κύρῳ βασίλεια, *Cyrus has a palace.*

2. When it signifies *existence* or *possibility*, as ἐν τοῖς βαρβάροις ἔστιν οὕτω λέγειν, *it is possible to speak thus among the barbarians.*

3. When it follows οὐκ, εἰ, ὡς, καί, τοῦτο, and some other words, as οὐκ ἔστι Κύρῳ πλοῖα, *Cyrus has no boats.*

167. *Proclitics* (26) have no effect on the accent of the following word. The proclitics are the forms ὁ, ἡ, οἱ, αἱ of the article; the prepositions εἰς, *into*, ἐξ (ἐκ), *out of*, ἐν, *in;* the conjunctions εἰ, *if*, and ὡς, *as, that;* and the negative οὐ (οὐκ, οὐχ), *not.*

168. An enclitic (27) generally loses its own accent, but in the following cases it retains it :

1. When a dissyllabic enclitic follows a word with the acute on the penult, as φίλοι ἐστέ, *you are friends.*

2. When the preceding syllable is elided (16), as ταῦτ᾽ ἐστὶ κακά, *this is bad.*

169. The word before an enclitic always retains its own accent, and never changes an acute to the grave (25). Further :

1. If it has the acute on the antepenult or circumflex on the penult, it receives from the enclitic an acute on its last syllable as a second accent, as ἄξιόν ἐστι, *it is right,* ἀγαθὸς οὗτός ἐστι, *he is brave.*

2. If it has the acute on the penult or the acute or circumflex on the ultima, it receives no additional accent, as ξένοι ἐσμέν (168, 1), *we are friends,* κακοί ἐστε, *you are cowards,* τῶν στρατιωτῶν τινες, *some of the soldiers.*

3. If it is a proclitic or an enclitic, it receives an acute, as εἴ τις, *if anybody;* εἴ τίς φησι (enclitic) ταῦτα, *if anybody says this.*

170.   VOCABULARY.

βασίλειος, ον (130), *royal;* neut. plur. βασίλεια as noun, *palace.*

εἰμί, imperf. ἦν, fut. ἔσομαι, *be.*

ἐνταῦθα, adv., *there, here, in this place.*

ἤ, conj., *than,* Lat. *quam.*

Μαίανδρος, ου, ὁ, *the Maeander,* a winding river in Asia Minor.

μᾶλλον, adv., *more, rather.*

μύριοι, αι, α, *10,000.*

παράδεισος, ου, ὁ, *park.*

πάροδος, ου, ἡ, *way by* or *along, passage, pass.*

πηγή, ῆς, ἡ, *fountain, head, spring, source.*

171. 1. εἶ ἐπὶ (*in the power of*) τῷ ἀδελφῷ.   2. οὐκ ἄξιόν ἐστι τὰς σπονδὰς λύειν.   3. ἐνταῦθα γάρ ἐστιν ἡ πάροδος στενή.   4. Κύρῳ μᾶλλον φίλοι ἐστὲ ἢ τῷ ἀδελφῷ.   5. ἦμεν ἐν τῷ παραδείσῳ.   6. Κλεάρχῳ δὲ μύριοι δᾱρεικοί εἰσι.   7. ξένοι ἐσμέν, ὦ Κῦρε, τῷ σατράπῃ.   8. αἱ δὲ πηγαὶ τοῦ Μαιάνδρου ποταμοῦ εἰσιν ἐκ τῶν βασιλείων.   9. Κύρῳ ἐστέ, ὦ στρατιῶται, καὶ φίλοι καὶ σύμμαχοι.   10. ἔστι δὲ Κύρῳ καὶ βασίλεια καὶ χωρίον ἰσχυρὸν ἐπὶ ταῖς τοῦ ποταμοῦ πηγαῖς.

172. 1. This country is hostile to Artaxerxes.   2. The soldiers have arms and horses.   3. These friends of Cyrus were soldiers.   4. For you are in a hostile land.   5. In this place there was a beautiful park.

173. He continues to collect Forces.

ἄλλους δὲ στρατιώτᾱς Κύρῳ ἤθροιζε Κλέαρχος ὁ Λακε-
δαιμόνιος ἐν Χερρονήσῳ· τούτῳ γὰρ ὡς (as) φίλῳ
παρέσχε μῡρίους δᾱρεικούς. Ἀρίστιππος δὲ ὁ Θετταλὸς
ξένος ἦν αὐτῷ, καὶ ἐν Θετταλίᾳ στρατιὰν ἤθροιζεν.
5 ἐκέλευσε δὲ καὶ Πρόξενον καὶ Σοφαίνετον μετὰ τῶν
ἄλλων στρατηγῶν στρατεύειν· καὶ ἐποίουν οὕτως οὗτοι.

NOTES. — 3. παρέσχε: second aorist (91) of παρ-έχω, *hold beside* or *near,
furnish, give.* The preposition παρά signifies *beside.* The accent of a com-
pound verb cannot go further back than the augment. — 6. ἐποίουν: by
contraction for ἐποίεον, third plural imperfect indicative active of ποιέω, *do.*

LESSON XIX.

Present, Imperfect, and Future Indicative Middle.

174. In the Middle (48) voice the subject is represented as
acting:

1. *On himself,* as πορεύω, *make go,* middle, *make oneself go, proceed;*
πείθω, *persuade,* middle, *persuade oneself, trust, obey.*

2. *For himself,* as ἀγοράζω, *buy,* middle, *buy for oneself;* μεταπέμπω,
send after, middle, *send for* a person or thing *to come to oneself, summon,
send for;* στρατεύω, *make war,* middle, *take the field, march.*

3. *On something belonging to himself,* as λύω, *loose,* middle, *loose one's
own, ransom;* ἄγω, *bring,* middle, *bring one's own.*

175. The personal endings (136) in the indicative middle
are :

	Primary.				Secondary.		
	SINGULAR.	DUAL.	PLURAL.		SINGULAR.	DUAL.	PLURAL.
1	-μαι		-μεθα		-μην		-μεθα
2	-σαι	-σθον	-σθε		-σο	-σθον	-σθε
3	-ται	-σθον	-νται		-το	-σθην	-ντο

176. Learn the conjugation of the present, imperfect, and future indicative middle of λύω, in 765 (λύομαι and ἐλῡόμην) and 766 (λύσομαι).

177. The present stem, found in the present and imperfect, is λῡο/ε (138 and 147), the future stem is λῡσο/ε (139). The forms λύει, ἐλύου, and λύσει, are the shortened forms of λύε-σαι, ἐλύε-σο and λύσε-σαι.

178. <center>VOCABULARY.</center>

ἀγοράζω (ἀγοραδ), ἀγοράσω, ἠγόρασα, ἠγόρακα (cf. ἀγορά), *frequent the market-place, buy.*

ἀλήθεια, ᾱς, ἡ, *truth.*

βαρβαρικός, ή, όν (cf. βάρβαρος), *barbarian;* τὸ βαρβαρικόν, *the Persian force of Cyrus.*

ἕτοιμος, η, ον, or ος, ον (130), *ready, prepared.*

μετα-πέμπομαι, *send for, summon.*

πείθω, πείσω, ἔπεισα, πέπεικα, *persuade;* mid., *obey.*

πέρᾱν, adv., *across, beyond.*

πιστεύω, πιστεύσω, ἐπίστευσα (cf. πιστός), *put faith in, trust.*

πορεύομαι, πορεύσομαι, πεπόρευμαι, *proceed.*

συμ-βουλεύω, *plan with, advise;* mid., *consult with.*

συ-στρατεύομαι, *serve in war with, take the field with.*

179. 1. συστρατεύσεται σὺν Κύρῳ· πιστεύει γὰρ αὐτῷ.[1] 2. οὐκ ἐπείθου[1] τοῖς θεοῖς. 3. τῇ δ' ἀληθείᾳ[2] ἐπορεύοντο ἐπὶ τὸν ποταμόν· 4. Ἀρταξέρξης τὴν στρατιὰν ἄξεται. 5. τοὺς στρατιώτᾱς ἕτοιμοί ἐσμεν λύεσθαι.[3] 6. Κῦρος δὲ μεταπέμπεται τὸ βαρβαρικόν. 7. διὰ τοῦ πεδίου ἐπορευόμεθα εἰς κώμᾱς. 8. Κῦρος δὲ τοῖς στρατηγοῖς καὶ τοῖς λοχᾱγοῖς συμβουλεύεται. 9. πέρᾱν δὲ τοῦ Εὐφρᾱτου[4] ἦν κώμη· ἐκ ταύτης οἱ στρατιῶται ἠγοράζοντο τὰ ἐπιτήδεια.

180. 1. And he was proceeding on the wagon. 2. The bowmen send for their bows. 3. He did not obey his brother.

4. You did not proceed to Cyrus.   5. The targeteers will purchase provisions for themselves.

NOTES. — [1] The dative of the indirect object follows verbs signifying *to trust* and *obey* (860). — [2] *rē uērā*, dative of *manner* (866). Abstract nouns in Greek often take the article. — [3] *to ransom*, present infinitive middle, ending in εσθαι. — [4] Adverbs of *place* may be followed by the genitive (856).

181.   All his Troops muster at Sardis.

ἐπεὶ δ' ἕτοιμος ἦν Κῦρος πορεύεσθαι ἄνω, λέγει μὲν ὅτι
στρατεύεται ἐπὶ Πῑσίδᾱς· τῇ δ' ἀληθείᾳ ἐπὶ τὸν ἀδελφὸν
ἐπορεύετο.   καὶ ἀθροίζει ὡς (*as if*) ἐπὶ τούτους τό τε
βαρβαρικὸν καὶ τὸ Ἑλληνικόν.   ἐνταῦθα καὶ κελεύει τόν
5 τε Κλέαρχον ἥκειν καὶ τὸν Ἀρίστιππον ἀποπέμπειν εἰς
Λῡδίᾱν τοὺς ἐν Θετταλίᾳ στρατιώτᾱς.   ἐκέλευσε δὲ καὶ
τοὺς ἄλλους ξένους συστρατεύεσθαι.   οἱ δὲ ἐπείθοντο·
ἐπίστευον γὰρ αὐτῷ.

No. 12.   The Skulking Warrior.

LESSON XX.

Aorist, Perfect, Pluperfect, and Future Perfect Indicative Middle.

182. The future perfect indicative denotes that an action will be *already finished* at some future time, as λελύσομαι, *I shall have ransomed.* This tense is not found in the active voice.

183. Learn the conjugation of the first aorist, perfect, pluperfect, and future perfect indicative middle of λύω in 767 (ἐλῡσάμην) and 769 (λέλυμαι, ἐλελύμην, and λελύσομαι).

(The perfect and pluperfect middle and passive of mute verbs are reserved for Lessons XXII. and XXIII.)

184. The first aorist middle uses the first aorist stem λῡσα (148).

185. The perfect and pluperfect middle use the perfect middle stem λελυ, formed simply by reduplicating the verb stem. The pluperfect has augment.

186. The future perfect uses the perfect middle stem with $\sigma^o/_\epsilon$ added, λελῡσ$^o/_\epsilon$. A short final vowel is always lengthened before $\sigma^o/_\epsilon$.

187. For the personal endings, see 175. The forms ἐλύσω and λελύσει are shortened forms of ἐλύσα-σο and λελύσε-σαι.

No. 13. Assyrian Wagon.

188. VOCABULARY.

ἄκρος, ᾱ, ον, *at the top, topmost;* ἄκρον, neut. as noun, *summit.*

ἀπο-πέμπω, *send off* or *away;* mid., *send away from oneself, dismiss.*

ἡδέως, adv., *gladly.*

ὀλίγος, η, ον, *little, small;* plur., *few.*

ὅλος, η, ον, *whole, entire.*

παρά, prep.: with gen., *from beside, from;* with dat., *beside, with, at;* with acc., *to the side of, to, near, by.*

παρασκευή, ῆς, ἡ, *preparation, equipment.*

πάρ-ειμι, *be beside* or *present.*

παύω, παύσω, ἔπαυσα, πέπαυκα, πέπαυμαι, *cause to cease, stop;* mid., *cease, desist.*

πέντε, indeclinable, *five.*

σταθμός, οῦ, ὁ, *stopping-place, stage, day's march.*

Φρυγία, ᾱς, ἡ, *Phrygia.*

---

189. 1. πεπόρευνται παρὰ τὸν Κῦρον. 2. οὗτος τοῦ πρὸς τοὺς βαρβάρους πολέμου[1] ἡδέως πεπαύσεται. 3. τόν τε στρατηγὸν καὶ τὸν σατράπην ἀπεπέμψατο. 4. οἱ δὲ στρατιῶται ἐπεπόρευντο σταθμοὺς[2] πέντε διὰ φιλίας χώρας. 5. ὀλίγοι τῶν στρατιωτῶν τὰ ἐπιτήδεια ἠγοράσαντο. 6. οἱ ὁπλῖται πεπόρευνται ἐπὶ τὸ ἄκρον. 7. καὶ ὁ σατράπης μετεπέμψατο ἵππους καὶ ὅπλα καὶ τὴν ἄλλην παρασκευὴν εἰς Φρυγίᾱν. 8. οἱ πολέμιοι οὐκ ἐπαύσαντο τῆς κραυγῆς διὰ ὅλης τῆς ἡμέρᾱς. 9. ἐπεὶ δὲ καὶ οὗτοι παρῆσαν, ἐστρατεύσατο Κῦρος εἰς τὴν τῶν πολεμίων χώρᾱν.

---

190. 1. Cyrus summoned few of the captains. 2. They have proceeded to the sources of the river. 3. He has consulted with Cyrus. 4. You will gladly have ceased from battle. 5. The army had advanced five days' march.

NOTES. — [1] *from war,* a genitive of *separation* (849). — [2] Accusative of *extent of space* (836).

191.   Tissaphernes warns the King.   The March begins.

οὗτοι μὲν παρῆσαν αὐτῷ εἰς Σάρδεις.   Τισσαφέρνης
δὲ ἐπορεύετο παρὰ τὸν Ἀρταξέρξην · οὐ γὰρ ἐνόμιζε τὴν
παρασκευὴν ταύτην εἶναι ἐπὶ Πῑσίδᾱς.   καὶ Ἀρταξέρξης,
ἐπεὶ ταῦτ' ἔλεξε Τισσαφέρνης, ἀντιπαρασκευάζεται.

5   Κῦρος δὲ ἔχων τούτους τοὺς στρατιώτᾱς ἐξελαύνει ἀπὸ
Σάρδεων διὰ τῆς Λῡδίᾱς σταθμοὺς τρεῖς (trēs) ἐπὶ τὸν
Μαίανδρον ποταμόν.   ἐπὶ δὲ τούτῳ γέφῡρα ἐπῆν.   ἐντεῦθεν
ἐξελαύνει διὰ Φρυγίᾱς εἰς Κολοσσάς.

NOTES. — 1. Σάρδεις : *Sardis*, accusative plural.   The genitive plural
Σάρδεων occurs in 6. — 3. εἶναι : *to be*, present infinitive of εἰμί.   Translate,
that it was, etc. — 5. ἔχων : *having*, present participle, = *with*. — ἐξ-ελαύνει :
the verb ἐλαύνω here means *march*.   Use the map in following the route of
the expedition. — 7. ἐπ-ῆν : imperfect of ἔπ-ειμι, *be on* or *over*.

No. 14.   Theseus fighting with Amazons.

LESSON XXI.

Indicative Passive.

192. In the passive (48) voice the subject is represented as *acted on*, as λύομαι, *I am loosed*, ἐλῡόμην, *I was loosed, etc.*

193. The present, imperfect, perfect, pluperfect, and future perfect have the same forms in the passive voice as in the middle. The first aorist and first future are different.

194. Learn the conjugation of the first aorist and first future indicative passive of λύω in 770 (ἐλύθην and λυθήσομαι).

195. The first aorist passive uses the *first passive* stem, formed by adding the tense suffix θε (lengthened to θη in the indicative) to the verb stem, as λυθε (λυθη). As a secondary tense, it has augment in the indicative. It uses the *active* secondary endings (145).

196. Before the suffix θε a labial mute (π β φ) becomes (or remains) φ, as ἐ-πέμφ-θην (verb stem πεμπ); a palatal mute (κ γ χ) becomes (or remains) χ, as ἤχ-θην (verb stem αγ); a lingual mute (τ δ θ) becomes σ, as ἐπείσ-θην (verb stem πειθ), ἡρπάσ-θην (verb stem ἁρπαδ).

197. Some verbs form the aorist passive with the tense suffix ε (lengthened to η in the indicative) instead of θε (θη), as γράφω, *write* (verb stem γραφ), ἐ-γράφη-ν. These are called SECOND aorists passive.

198. The first future passive uses the first passive stem with σ°/ε added to θη, as λυθησ°/ε. It uses the *middle* primary endings (175).

199. The PRINCIPAL PARTS of a verb are the first person singular indicative of the following tenses : present active, future active, aorist active, perfect active, perfect middle, aorist passive, as λύω, λύσω, ἔλῦσα, λέλυκα, λέλυμαι, ἐλύθην.

200. The second aorist active (91), second perfect (115), and second aorist passive (197) may occur in place of the corresponding first tenses or in addition to them.

a. These second tenses will be fully considered later.

201. Not all verbs have all the principal parts, that is, some verbs are *defective.*

In the following vocabularies, if parts are not given, it is to be understood that they do not occur in Attic prose.

202. The agent is usually expressed, in the passive construction, by ὑπό with the genitive, as οἱ ὁπλῖται ὑπὸ τοῦ στρατηγοῦ πεμφθήσονται, *the heavy-armed men will be sent by the general.*

203. The perfect and pluperfect passive may have the *dative* of the agent, as αἱ σπονδαὶ τοῖς πολεμίοις λέλυνται, *the treaty has been broken by the enemy.*

204.   VOCABULARY.

γράφω, γράψω, ἔγραψα, γέγραφα, γέγραμμαι, ἐγράφην, *write.* No. 60.

δή, intensive postpositive particle, *now, indeed, accordingly, so, then.*

εἴκοσι, indeclinable, *twenty.*

ἐντεῦθεν, adv., *thence, from this place.*

ἑπτά, indeclinable, *seven.*

ἥκω, ἥξω, *come, be or have come.*

παρασάγγης, ου, ὁ, *parasang,* a Persian road measure.

πιέζω (πιεδ), πιέσω, ἐπίεσα, ἐπιέσθην, *press hard ;* pass., *be hard pressed.*

ὑπό, prep.: with gen., *under, from under,* of agency, *by, through;* with dat., *under, beneath;* with acc., *under, down under.*

205. 1. λυθησόμεθα ἐκ τούτων τῶν δεινῶν.[1] 2. ἐν δὲ τῇ στενῇ ὁδῷ ἐπιέσθημεν ὑπὸ τῶν πολεμίων. 3. λέγεται ἄγγελος ἥκειν παρὰ Δαρείου. 4. οὕτω δὴ μετεπέμφθησαν οἱ τοξόται. 5. ἐδιώκοντο διὰ τοῦ πεδίου παρασάγγᾱς ἑπτά. 6. ἐπιστολὴ ἐγράφη παρὰ τὸν Κλέαρχον. 7. ἐκ τῶν κωμῶν διηρπάσθη ὑπὸ τῶν βαρβάρων τὰ ὅπλα. 8. ἐπὶ τῷ δεξιῷ[2] ἐτοξεύθησαν ὁπλῖται εἴκοσιν.[3] 9. ἐντεῦθεν πεμφθήσονται ὑπὸ Κύρου εἰς Φρυγίᾱν.

206. 1. Twenty heavy-armed men were brought[4] from this place.[5] 2. The bridge will be destroyed. 3. He was persuaded by the general. 4. Five targeteers on the right (wing) were shot. 5. They will be hard pressed by the soldiers.

NOTES. — [1] Used as a neuter noun. — [2] *on the right (wing)*. — [3] See 17. — [4] Use ἄγω. — [5] Put the Greek word for this phrase first. *Cf.* 205, 9.

207.   The Palace and Park of Cyrus at Celaenae.

ἐνταῦθα Κῦρος μένει ἡμέρᾱς ἑπτά· καὶ ἧκε Μένων ὁ Θετταλὸς ὁπλίτᾱς ἔχων καὶ πελταστάς. ἐντεῦθεν ἐξελαύνει παρασάγγᾱς εἴκοσιν εἰς Κελαινάς.

ἐνταῦθα Κύρῳ βασίλεια ἦν καὶ παράδεισος. ἐν δὲ 5 τούτῳ ἦν ἄγρια θηρία· ταῦτα ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου. οὕτω γὰρ ἐγύμναζε τοὺς ἵππους. διὰ δὲ τοῦ παραδείσου ῥεῖ ὁ Μαίανδρος ποταμός· αἱ δὲ πηγαὶ αὐτοῦ εἰσιν ἐκ τῶν βασιλείων· ῥεῖ δὲ καὶ διὰ Κελαινῶν.

NOTES. — 1. ἡμέρᾱς: accusative of *extent of time* (836). — 7. ῥεῖ: by contraction for ῥέει, from ῥέω, *flow*.

LESSON XXII.

Perfect, Pluperfect, and Future Perfect Indicative Middle and Passive of Labial Mute Verbs.

208. Learn the conjugation of the perfect, pluperfect, and future perfect indicative middle and passive of λείπω, *leave*, in 775 (λέλειμμαι, ἐλελείμμην, and λελείψομαι).

209. The concurrence of consonants in the stem and endings (note the forms in parenthesis) occasions euphonic changes, according to the following principles :

1. A labial mute (π β φ) before μ changes to μ; with σ it forms ψ; before τ and θ it becomes (or remains) respectively π and φ.

a. When μμμ would thus result, one μ is dropped, as πέμπω, *send*, πέπεμ-μαι (πεπεμπ-μαι), πέπεμψαι, πέπεμπ-ται, etc.

2. σ between two consonants is dropped.

210. The third person plural of the perfect and pluperfect is a compound form, consisting of the perfect middle or passive participle and εἰσί in the perfect, and of this participle and ἦσαν in the pluperfect.

211. Conjugate also the perfect and pluperfect indicative middle and passive of πέμπω (πέπεμμαι, *etc.*) and of γράφω (γέγραμμαι, *etc.*).

212.   VOCABULARY.

ἅμα, adv., *at the same time.*

ἀριθμός, οῦ, ὁ, *number, enumeration.*

δένδρον, ου, τό, *tree.*

κατά, prep.: with gen., *down from;* with acc., *down along, over, by.*

κατα-λείπω, *leave behind, abandon.*

κατα-κόπτω, *cut down* or *in pieces.*

κόπτω (κοπ), κόψω, ἔκοψα, κέκοφα, κέκομμαι, ἐκόπην, *cut, fell.*

λείπω (λιπ), λείψω, ἔλιπον, λέλοιπα, λέλειμμαι, ἐλείφθην, *leave.*

Πρόξενος, ου, ὁ, *Proxenus.*

τριάκοντα, indeclinable, *thirty.*

χίλιοι, αι, α, *1000.*

213. 1. καταλελειμμένοι εἰσὶ τριάκοντα τοξόται; 2. ἅμα δὲ ἐπέπεμψο, ὦ Πρόξενε, ἐπὶ τὴν γέφυραν. 3. κατακέκοπται τοῖς πολεμίοις[1] ἡ στρατιά. 4. ὁπλῖται χίλιοι πεπεμμένοι ἦσαν κατὰ θάλατταν. 5. ὀλίγοι τῶν Κύρου φίλων καταλελειμμένοι ἦσαν. 6. λελειμμένοι ἦσαν οἱ στρατιῶται. 7. ἐκ ταύτης τῆς κώμης ἄγγελος ἐπέπεμπτο πρὸς Κῦρον. 8. τὰ δένδρα κέκοπται. 9. Κῦρος ἀποπέπεμπται[2] τὸν ἄγγελον. 10. τοὺς ὁπλίτᾱς μεταπεπέμμεθα ἐκ τῆς Φρυγίᾱς.

214. 1. The army had been cut to pieces by the satrap. 2. Twenty bowmen have been left behind in the plain. 3. A letter had been written at the same time.[3] 4. A messenger has been sent away to the satrap. 5. For a thousand soldiers had been sent to the stronghold.

Notes. — [1] The *agent* (203). — [2] Middle. — [3] For the order, *cf.* 213, 2.

215.　A Thirty Days' Halt, and Enumeration of the Troops.

ἔστι δὲ καὶ Ἀρταξέρξου βασίλεια ἐν Κελαιναῖς ἐρυμνὰ ἐπὶ ταῖς πηγαῖς τοῦ Μαρσύου ποταμοῦ · ῥεῖ δὲ καὶ οὗτος διὰ Κελαινῶν.

ἐνταῦθα μένει Κῦρος ἡμέρᾱς τριάκοντα · καὶ ἧκε Κλέ-
5 αρχος ἔχων ὁπλίτᾱς χῑλίους καὶ πελταστὰς καὶ τοξότᾱς. ἅμα δὲ καὶ Σοφαίνετος παρῆν ἔχων ὁπλίτᾱς χῑλίους. καὶ ἐνταῦθα Κῦρος ἀριθμὸν τῶν Ἑλληνικῶν στρατιωτῶν ἐποίησεν ἐν τῷ παραδείσῳ, καὶ ἦσαν ὁπλῖται μὲν μύριοι καὶ χίλιοι, πελτασταὶ δὲ δισχίλιοι.

Notes. — 1. ἔστι: for the accent, see 166, 1. — 9. δισχίλιοι: the numeral adverb δίς means *twice*.

LESSON XXIII.

Perfect and Pluperfect Indicative Middle and Passive of Palatal and Lingual Mute Verbs.

216. Learn the conjugation of the perfect and pluperfect indicative middle and passive of ἄγω, *lead*, *bring*, in 776 (ἦγμαι and ἤγμην).

217. 1. A palatal mute (κ γ χ) before μ becomes (or remains) γ; with σ it forms ξ; before τ and θ it becomes (or remains) respectively κ and χ.

2. σ between two consonants is dropped.

218. Conjugate also the corresponding perfect and pluperfect of τάττω (ταγ), *arrange*, *draw up* (τέταγμαι and ἐτετάγμην).

219. Learn the conjugation of the perfect and pluperfect indicative middle and passive of πείθω, *persuade*, middle *obey*, in 777 (πέπεισμαι and ἐπεπείσμην).

220. 1. A lingual mute (τ δ θ) before μ becomes σ; before σ it is dropped; before τ and θ it becomes σ.

2. σ between two consonants is dropped.

221. Conjugate also the corresponding perfect and pluperfect of ἁρπάζω (ἁρπαδ), *rob* (ἥρπασμαι and ἡρπάσμην).

No. 15.   Attic Four Drachma Piece.

222.   VOCABULARY.

εὖ, adv., *well.*

εὐώνυμος, ον (130), *of good name* or *omen,* euphemistic for *left, on the left side,* as contrasted with δεξιός.

μέσος, η, ον, *middle;* τὸ μέσον, *the middle, centre.*

παρασκευάζω, παρασκευάσω, etc. (cf. παρασκευή), *get* or *make ready, prepare.*

συν-τάττω, *draw up together, marshal.*

τάττω (ταγ), τάξω, ἔταξα, τέταχα, τέταγμαι, ἐτάχθην, *arrange, order,* especially of troops, *draw up, marshal, post.*

ὑποζύγιον, ου, τό, *beast of burden;* plur., *baggage animals.*

φυλάττω (φυλακ), φυλάξω, ἐφύλαξα, πεφύλαχα, πεφύλαγμαι, ἐφυλάχθην, *guard, watch, defend;* mid., *defend oneself against, guard against.*

223. 1. τοῦτον δὴ εὖ πεφυλάγμεθα. 2. ἦκται ἡ στρατιὰ κατὰ (*against*) τὸ τῶν πολεμίων μέσον. 3. οἱ δὲ πολέμιοι ἠθροισμένοι εἰσὶ καὶ συντεταγμένοι. 4. Ἀρταξέρξης εἰς μάχην παρεσκεύαστο. 5. οὗτοι οἱ στρατιῶται εὖ τεταγμένοι εἰσίν. 6. τῷ δὲ λοχαγῷ[1] τούτῳ ἡδέως πέπεισμαι. 7. ἐτέτακτο δὲ ἐπὶ τῷ εὐωνύμῳ[2] οὗτος ὁ στρατηγός. 8. οἱ στρατηγοὶ ἠγμένοι ἦσαν εἰς τὴν Ἀρταξέρξου σκηνήν. 9. καὶ τὰ ὅπλα τοῖς στρατιώταις[3] ἐπὶ ἁμαξῶν ἦκτο καὶ ὑποζυγίων. 10. αἱ δὲ σκηναὶ πεφυλαγμέναι εἰσὶ τοῖς βαρβάροις.[4]

224. 1. The fellow has been led into the presence of Clearchus. 2. But we had obeyed Cyrus. 3. The men on the left (wing) had been posted at the bridge. 4. You have prepared yourselves against dreadful foes. 5. The horses and the beasts of burden had been led through a hostile country.

NOTES. — [1] Verbs signifying *to obey* take the dative (860). — [2] *on the left* (wing). — [3] *for the soldiers,* a dative of advantage (861). — [4] The agent (203).

225.   The March continues. Review of the Troops.

ἐντεῦθεν ἐξελαύνει εἰς Θύμβριον. ἐνταῦθα ἦν παρὰ τὴν ὁδὸν κρήνη· ἐπὶ δὲ ταύτῃ λέγεται Μίδᾶς τὸν Σάτυρον θηρεῦσαι. ἐντεῦθεν ἐξελαύνει εἰς Τυριαῖον, καὶ ἐξετάζει ἐν τῷ πεδίῳ τὴν στρατιάν. ἐκέλευσε δὲ τοὺς
5 Ἑλληνικοὺς στρατιώτᾶς ταχθῆναι ὥσπερ εἰς (*for*) μάχην. ἐτάχθησαν οὖν ἐπὶ τεττάρων (*four deep*)· εἶχε δὲ τὸ μὲν δεξιὸν Μένων καὶ οἱ σὺν αὐτῷ, τὸ δὲ εὐώνυμον Κλέαρχος καὶ οἱ ἐκείνου, τὸ δὲ μέσον οἱ ἄλλοι στρατηγοί.

NOTES. — 3. **θηρεῦσαι**: *to have caught*, aorist infinitive active. — 5. **ταχθῆ-ναι**: first aorist infinitive passive, *to be drawn up.* — **ὥσπερ**: *as if.*

No. 16.   Silenus the Satyr.

LESSON XXIV.

Prepositions.

226. Prepositions are used with the genitive, dative, and accusative. Some prepositions are used with only one of these cases, others with two, others with all three.

227. The prepositions ἀντί, *instead of*, ἀπό, *off from, from*, Latin *ab*, ἐξ, *out of, from*, Latin *ex*, and πρό, *before*, Latin *prō*, take only the genitive. ἐξ signifies *from within, out of*, ἀπό, *off from, away from*.

228. ἐν, *in*, Latin *in* with the ablative, and σύν, *with*, Latin *cum*, take only the dative.

229. ἀνά, *up*, and εἰς, *into*, Latin *in* with the accusative, take only the accusative.

230. ἀμφί, *about*, διά, *through, on account of*, κατά, *down*, μετά, *in company with, after*, and ὑπέρ, *over*, Latin *super*, take the genitive and accusative.

231. ἐπί, *on, upon*, παρά, *alongside of, beside*, περί, *round, about*, πρός, *over against, at, to*, and ὑπό, *under*, Latin *sub*, take the genitive, dative, and accusative.

232. In general, the genitive with prepositions denotes that *from* which something proceeds, the dative that *in* or *by* which something is or takes place, the accusative that *towards, over, along*, or *upon* which motion occurs, as:

ἄγγελός ἐστι παρὰ Κύρου, *he is a messenger from (from beside) Cyrus;*
παρὰ τῷ Κύρῳ ἦσαν οἱ στρατηγοί, *the generals were with (beside) Cyrus;*
ἄγουσι τὸν ἄνθρωπον παρὰ Κῦρον, *they bring the fellow to Cyrus.*

233. The chief relations expressed by the prepositions are *place* and *time;* but they express also *cause, origin, means, agency, condition, purpose,* and other important ideas. The original force of the preposition shades off into many meanings.

234. Prepositions are used in forming compound verbs (93).

a. In determining the force of a preposition in any sentence, the pupil should study the connection of the preposition with the other words in the sentence, or with the verb to which it is prefixed, keeping the original meaning of the preposition in mind. The general vocabulary must be constantly consulted.

235. VOCABULARY.

ἀλλά, conj., *but, yet,* stronger than δέ.

ἀμφί, prep.: with gen., *about, concerning;* with acc., *about, round.*

ἀνά, prep. with acc., *up, up along, up to,* with numerals, *at the rate of.*

ἄρχω, ἄρξω, ἦρξα, ἦργμαι, ἤρχθην (cf. ἀρχή), *be first, rule, reign over, command;* mid., *begin.*

αὖ, adv., *again, in turn, moreover.*

εἶτα, adv., *then, thereupon.*

εὐθύς, adv., *at once, immediately.*

περί, prep.: with gen., *about, concerning;* with dat., *round, about;* with acc., *about, all round, round.*

πρό, prep. with gen., *before, in front of, for.*

πρῶτος, η, ον (cf. πρό), *first, foremost;* πρῶτον as adv., *first.*

ὑπέρ, prep.: with gen., *over, above, in behalf of;* with acc., *over, above.*

236. 1. σύμμαχοι ἀγαθοί εἰσιν οἱ ἀμφὶ Κῦρον.[1] 2. οἱ δὲ ἄλλοι ἐθήρευον τὰ θηρία ἀπὸ ἵππων. 3. οἱ Κύρου φίλοι ἐστρατευμένοι εἰσὶν ὑπὲρ αὐτοῦ. 4. ταῦτα περὶ τῆς στρατιᾶς ἄγγελοι παρὰ τοῦ ἀδελφοῦ ἔλεξαν Κύρῳ πρὸ τῆς μάχης. 5. μετὰ τοῦτο πορεύονται ἑπτὰ σταθμοὺς ἀνὰ πέντε παρασάγγᾱς τῆς ἡμέρᾱς[2] παρὰ τὸν ποταμόν. 6. Κῦρος οὐκ ἔστιν ἐπὶ τῷ ἀδελφῷ, ἀλλ᾽ ἄξιός ἐστιν

ἄρχειν ἀντ' ἐκείνου. 7. ἐκεῖνος δὲ τῶν ὁπλιτῶν³ ἦρχεν· οὗτοι δ' αὖ πρὸ αὐτοῦ 'Αρταξέρξου τεταγμένοι ἦσαν. 8. Κῦρος ἐκέλευσε τὸν Κλέαρχον πρῶτον μὲν τάττειν τοὺς στρατιώτᾱς, εἶτα δὲ ἄγειν διὰ τοῦ πεδίου. 9. ὁ δὲ σατράπης πορεύεται εὐθὺς παρὰ τὸν 'Αρταξέρξην, καὶ στρατιώτᾱς ἔχει ἀμφὶ τοὺς τριᾱκοσίους.

237. 1. The messengers will proceed from the market place to the tents. 2. Cyrus and his staff⁴ proceed immediately to the palace. 3. He had a stronghold above the village. 4. Before the battle the generals sacrificed in their tents to the gods.⁵

NOTES. — ¹ *those about Cyrus, i.e. his attendants.* — ² *each day*, genitive of the *time within which* (854). — ³ The genitive follows ἄρχω (847). — ⁴ *I.e. those about Cyrus.* — ⁵ Dative without a preposition.

238.   The Greeks inspire the Barbarians with Fear.

ἐξετάζει οὖν ὁ Κῦρος πρῶτον μὲν τοὺς βαρβάρους· οἱ δὲ παρελαύνουσι τεταγμένοι κατὰ ἴλᾱς· εἶτα δὲ τοὺς ἄλλους στρατιώτᾱς.   μετὰ δὲ ταῦτα ἔπεμψεν ἄγγελον παρὰ τοὺς στρατηγοὺς τοὺς Ἑλληνικοὺς καὶ ἐκέλευσε
5 πορεύεσθαι ὥσπερ εἰς μάχην· οἱ δὲ ταῦτα ἔλεξαν τοῖς στρατιώταις· καὶ ἐπεὶ ἐσάλπιγξεν ὁ σαλπικτής, προβάλλονται τὰ ὅπλα καὶ σὺν κραυγῇ τρέχουσιν ἐπὶ τὰς σκηνάς. τοῦτο δὲ τοῖς βαρβάροις φόβον παρεῖχε.

NOTES. — 2. οἱ δέ: *and they*, the article being used as a demonstrative. — τεταγμένοι: *having been drawn up*, perfect passive participle. — κατὰ ἴλᾱς: *by companies* (ἴλη). — 6. ἐσάλπιγξεν: aorist of σαλπίζω. For a picture of a trumpeter (σαλπικτής), see No. 55. — 8. παρ-εῖχε: *caused* (παρ-έχω).

LESSON XXV.

Labial and Palatal Mute Stems of the Consonant Declension.

239. The Third or Consonant Declension includes all nouns whose stems end in a consonant or in ι or υ. The stem may generally be found by dropping the case ending of the genitive singular.

240. The case endings are:

	MASCULINE AND FEMININE.			NEUTER.	
	SINGULAR.		PLURAL.	SINGULAR.	PLURAL.
N.	-ς or — (-s or —)	-ες	(-ēs)	— (—)	-α (-a)
G.	-ος (-is)	-ων	(-um)	-ος (-is)	-ων (-um)
D.	-ι (-ī)	-σι	(-ibus)	-ι (-ī)	-σι (-ibus)
A.	-α or ν (-em)	-ας or νς (-ēs)		— (—)	-α (-a)
V.	-ς or — (-s or —)	-ες	(-ēs)	— (—)	-α (-a)

a. The corresponding forms in Latin are added in parenthesis.

241. The dual has N. A. V. -ε, G. D. -οιν, in all genders.

242. Learn the declension of **κλώψ**, *thief*, **φύλαξ**, *guard*, **φάλαγξ**, *phalanx*, and **διῶρυξ**, *canal*, in 743.

243. In the nominative singular and dative plural **s** unites with a final labial (π β φ) in the stem to form **ψ**, with a final palatal (κ γ χ) to form **ξ**.

244. Monosyllabic stems of the consonant declension accent the last syllable in the genitive and dative of all numbers. The endings οιν and ων are circumflexed.

245.   VOCABULARY.

διῶρυξ, υχος, ἡ, *canal, ditch.*

εἰσβολή, ῆς, ἡ, *entrance, pass.*

ἔπ-ειμι, *be on* or *upon, be over.*

Θρᾷξ, Θρᾳκός, ὁ, *a Thracian.*

θώρᾱξ, ᾱκος, ὁ, *breastplate.* No. 17.

κῆρυξ, ῦκος, ὁ, *herald.* No. 75.

Κίλιξ, ικος, ὁ, *a Cilician.*

κλώψ, κλωπός, ὁ, *thief.*

φάλαγξ, φάλαγγος, ἡ, *line of battle, phalanx.*

φύλαξ, ακος, ὁ (*cf. φυλάττω*), *watcher, guard.*

No. 17. Alexander the Great.

246. 1. Κλέαρχος εἶχεν ὁπλίτᾱς χιλίους καὶ πελταστὰς Θρᾷκας. 2. ἐκέλευσε πορεύεσθαι τὴν φάλαγγα. 3. διὰ τοῦ θώρᾱκος ἐτοξεύθη ὑπὸ τοῦ Κίλικος. 4. τότε δὲ ἅμα τῇ ἡμέρᾳ[1] κήρῡκας ἔπεμψε περὶ σπονδῶν. 5. ἐν δὲ τῇ εἰς τὸ πεδίον εἰσβολῇ τεταγμένοι εἰσὶ τῶν Κιλίκων φύλακες. 6. ἀλλ' ἐν μέσῳ[2] ἦμεν τοῦ ποταμοῦ καὶ τῆς διώρυχος. 7. οἱ γὰρ τοξόται τοὺς κλῶπας ἐδίωξαν. 8. τὸ δὲ εὐώ-νυμον τῆς φάλαγγος αὐτῶν παρὰ τῷ ποταμῷ ἦν. 9. τοῖς γὰρ Θρᾳξὶ πολέμιος ἦν. 10. ἐντεῦθεν ἐπορεύοντο ἐπὶ τὴν διώρυχα · γέφῡραι δ' ἐπῆσαν.

247. 1. This thief was dishonored.   2. The Cilicians have horses.   3. He sent Thracians (as) guards.   4. The heavy-armed men had breastplates.   5. The canal is long and narrow, and upon it is a bridge.

NOTES. — [1] *at daybreak* (literally *at the same time with the day*).   The dative is used with words implying *union* (864). — [2] ἐν μέσῳ: *between.*

248.   The Troops are forced to halt at the Cilician Pass.

ἐκ δὲ Τυριαίου ἐξελαύνει πρὸς Δάνα.   καὶ Λυκᾱονίᾱν
διήρπασαν οἱ στρατιῶται· πολεμίᾱ γὰρ αὐτῷ ἦν.   ἐν
δὲ Δάνοις μένει ὁ Κῦρος ἡμέρᾱς τρεῖς, καὶ ἀποκτείνει
Μεγαφέρνην, φοινικιστὴν βασίλειον· ἐπεβούλευε γὰρ
5 αὐτῷ.   ἐντεῦθεν εἰσέβαλλον εἰς τὴν Κιλικίᾱν· ἡ δὲ
εἰσβολὴ ἦν ὁδὸς ἁμαξιτός, ὀρθίᾱ καὶ στενή· ἐλέγετο δὲ
καὶ Συέννεσις ὁ Κίλιξ εἶναι ἐπὶ τῶν ἄκρων, φυλάττων τὴν
εἰσβολήν.   διὰ τοῦτο ἔμενον ἡμέρᾱν ἐν τῷ πεδίῳ.

NOTES. — 1. Study the route on the map. — 5. εἰσέβαλλον: *they tried to enter*, imperfect of εἰσβάλλω, expressing *attempted* action. — 6. ἁμαξιτός: cf. ἅμαξα. — 7. φυλάττων: *guarding*, present participle active.

No. 18.   πέλτη.

LESSON XXVI.

Lingual Mute Stems of the Consonant Declension.

249. Learn the declension of **νύξ**, *night*, **ἀσπίς**, *shield*, **ὄρνῑς**, *bird*, **γέρων**, *old man*, and **ἅρμα**, *chariot*, in 744.

250. In the nominative singular and dative plural of the first three nouns the final lingual (τ δ θ) of the stem is dropped before **ς**. νύξ therefore stands for νυκτ-ς, νυκ-ς, κς becoming ξ. So νυκτ-σι, νυκ-σι, νυξί.

251. The fourth noun γέρων rejects **σ** in the nominative, and lengthens **ο** to **ω**. Final **τ** is dropped, since this letter cannot stand at the end of a word. In the dative plural both **ν** and **τ** are dropped before **σ**, and **ο** is lengthened to **ου**.

252. In the accusative singular most masculines and feminines add **α** to consonant stems, but nouns in **ις**, except oxytones (25), drop the final **τ δ θ** of the stem and add **ν**. Thus ὄρνῑς (stem ὀρνῑθ), ὄρνῑν; but ἀσπίς, oxytone (stem ἀσπιδ), ἀσπίδα.

253. The vocative singular of most masculines and feminines with mute stems is like the nominative, but the vocative singular of stems in **ιδ**, and of those in **ντ** except of oxytones, is the mere stem. Final **δ** or **τ** is dropped, since neither of these letters can stand at the end of a word. Thus, vocative ἀσπί, γέρον.

254. The nominative, accusative, and vocative singular of neuters, such as ἅρμα, are the simple stem. Final **τ** is dropped. In the dative plural **τ** is dropped before **σ**.

255.   **VOCABULARY.**

ἅρμα, ατος, τό, *chariot*. No. 26.

ἀσπίς, ίδος, ἡ, *shield*. No. 34.

γέρων, οντος, ὁ, *old man*.

ἐλπίς, ίδος, ἡ, *hope*.

νίκη, ης, ἡ, *victory*.

νύξ, νυκτός, ἡ, *night*.

ὄρνῑς, ῑθος, ὁ, ἡ, *bird*.

στόμα, ατος, τό, *mouth*; of an army, *van*.

στράτευμα, ατος, τό (*cf.* στρατιά, στρατιώτης), *army*.

χάρις, ιτος, ἡ, *grace, favor, gratitude*; χάριν ἔχω, *be* or *feel grateful*.

256. 1. ἐν δὲ ταῖς σκηναῖς ἦσαν ἀσπίδες.   2. ἔστι δὲ στράτευμα Περσικὸν ἐν τῷ παραδείσῳ.   3. τοῖς οὖν θεοῖς χάριν εἶχον τῆς νίκης.[1]   4. τὴν γέφυραν ταύτην λέλυκεν ὁ σατράπης τῆς νυκτός.[2]   5. τῷ δὲ γέροντι τούτῳ ἐκεῖνοι πολέμιοι ἦσαν.   6. ἐπορεύοντο δὲ εὐθὺς ἐπὶ τὸ τοῦ ποταμοῦ στόμα.   7. σὺν τοῖς θεοῖς καλαὶ τῷ στρατεύματι ἐλπίδες εἰσὶ νίκης.   8. ἐν δὲ ταῖς οἰκίαις ἦσαν ὄρνιθες.   9. ἔχομεν καὶ ὅπλα καὶ ἅρματα καὶ ἱκανὰ τὰ ἐπιτήδεια.

257. 1. We feel grateful to the old man.   2. At night they ceased from battle.[3]   3. Cyrus had twenty chariots.   4. The bowmen shot birds and wild asses in the plain.   5. The army was cut to pieces by these barbarians.

NOTES. — [1] *for victory*, a genitive of *cause* (851). — [2] Genitive of the *time within which* (854). — [3] Genitive of *separation* (849).

258.   Cyrus reaches Tarsus, which the Troops destroy.

τῇ δ᾽ ὑστεραίᾳ ἦκεν ἄγγελος λέγων ὅτι πέφευγε Συέννεσις.   Κῦρος οὖν ἀναβαίνει ἐπὶ τὰ ἄκρα, ἐντεῦθεν δὲ καταβαίνει εἰς πεδίον καλόν.   διὰ δὲ τούτου ἐλαύνει παρασάγγᾱς πέντε καὶ εἴκοσιν εἰς Ταρσούς, ἔνθα ἦν
5 βασίλεια.   ἐν δὲ τῇ ὑπερβολῇ τῇ εἰς τὸ πεδίον κατεκόπησαν, ὡς λέγεται, ἑκατὸν ὁπλῖται τοῦ Μένωνος στρατεύματος ὑπὸ τῶν Κιλίκων.   οἱ δὲ ἄλλοι ἐπεὶ ἦκον, Ταρσοὺς διήρπασαν διὰ τὸν ὄλεθρον τῶν στρατιωτῶν.

NOTES. — 1. τῇ ὑστεραίᾳ : *the next (day)*, ἡμέρᾳ being understood, a dative of the *time when* (870). — πέφευγε : second perfect of φεύγω, *flee*. — 2. ἀνα-βαίνει : the verb βαίνω means *go*.

LESSON XXVII.

Adjectives of the Consonant Declension.

259. The feminine of Adjectives of the Consonant Declension, when it differs from the masculine, follows the A-Declension. Its nominative singular ends in **α** (short).

260. Learn the declension of **χαρίεις**, *graceful*, **πᾶς**, *all*, and **ἑκών**, *willing*, in 752, and of the participle **λύων**, *loosing*, in 754. These have stems in **ντ**.

261. The feminine of these adjectives is declined like *θάλαττα* (62).

262. The nominative singular masculine either ends in **s**, before which **ντ** is dropped and the preceding vowel lengthened (**ε** to **ει** and **α** to **ā**), or rejects **s**, like *γέρων* (744). For the vocative singular masculine of *χαρίεις* and *ἑκών*, see 253.

263. In the dative plural masculine and neuter of *χαρίεις*, **ε** is not lengthened, although **ντ** is dropped. *πᾶς* lacks the vocative singular and the dual. The forms *πάντων* and *πᾶσι* are irregular in accent (*cf.* 244).

264. VOCABULARY.

ἄ-πᾱς, ἄ-πᾱσα, ἄ-παν, *all together, all.*

ἑκών, οὖσα, όν, *willing, of one's own accord;* in the pred., *willingly.*

ἔτι, adv., *yet, still, longer.*

ἤδη, adv., *already, now, forthwith.*

θαυμάζω (θαυμαδ), θαυμάσομαι, ἐθαύμασα, τεθαύμακα, ἐθαυμάσθην, *wonder at, admire, wonder.*

οὐκ-έτι, adv., *no longer.*

πᾶς, πᾶσα, πᾶν (*cf.* πάνυ), *all, entire.*

στόλος, ου, ὁ, *armed force, expedition.*

συν-άγω, *bring together, collect.*

ὕστερος, ᾱ, ον, *later;* ὕστερον as adv., *later, afterwards.*

χαρίεις, εσσα, εν (*cf.* χάρις), *graceful, accomplished, clever.*

χρῆμα, ατος, τό, *something one uses;* plur., *things, money.*

265. 1. ἥκει ἔχων πᾶν τὸ στράτευμα. 2. ταῦτα δὲ ἔλεξε πᾶσι[1] τοῖς στρατιώταις. 3. οἱ δὲ ὁπλῖται ἅπαντες ἦσαν μύριοι καὶ χίλιοι. 4. ὁ νεανίας χαρίεις ἐστί. 5. ὕστερον δὲ χρήματα ἔπεμψεν ἑκὼν παντὶ τῷ στρατεύματι. 6. εἰς δὲ τὸν παράδεισον ἔτι συνάγει πᾶν τὸ στράτευμα. 7. αἱ σπονδαί εἰσι καὶ τοῖς ἄλλοις ἅπασιν. 8. στρατηγὸς ἤδη ἦν ὁ Κῦρος πάντων τῶν ἐν τῷ πεδίῳ βαρβάρων. 9. ἀλλά, ὦ Κλέαρχε, οὐκέτι πορευσόμεθα ἑκόντες σὺν Κύρῳ. 10. πάντες γὰρ θαυμάσονται τοῦτον τὸν στόλον.

266. 1. Everything has been done by the generals. 2. All the soldiers were proceeding willingly. 3. The gifts of the satrap were all beautiful. 4. Afterwards all the guards were drawn up. 5. The entire army proceeded through the plain twenty-five parasangs.

NOTE. — [1] πᾶς and ἅπας generally have the *predicate* position (813).

267.   The Troops refuse to advance.

ἐνταῦθα μένει Κῦρος καὶ ἡ στρατιὰ ἡμέρας εἴκοσιν. οἱ γὰρ στρατιῶται οὐκέτι ἤθελον πορεύεσθαι· ὑπώπτευον γὰρ ἤδη ἐπὶ Ἀρταξέρξην τὸν στόλον εἶναι. πρῶτος δὲ Κλέαρχος τοὺς αὑτοῦ στρατιώτας ἐκέλευε πορεύεσθαι·
5 οἱ δὲ αὐτόν τε ἔβαλλον καὶ τὰ ὑποζύγια τὰ ἐκείνου. ὕστερον δὲ συνήγαγε τοὺς στρατιώτας, καὶ πρῶτον μὲν ἐδάκρυεν· οἱ δὲ ἐθαύμαζον· εἶτα δὲ ἔλεξε τάδε.

NOTES. — 2. ἤθελον: imperfect of ἐθέλω. — ὑπώπτευον: imperfect of ὑποπτεύω. — 3. εἶναι: translate, *that it was, etc.* Cf. 191, 3. — 4. αὑτοῦ: *of himself, his own.* — 5. οἱ δέ: *but they.* Cf. 238, 2.

LESSON XXVIII.

Contract Verbs in aω in the Indicative.

268. Two successive vowels, or a vowel and a diphthong, within a word, may be united by CONTRACTION in a single long vowel or a diphthong.

269. Verbs in aω, εω, and oω contract the final α, ε, o of the verb stem with the following vowel or diphthong in the present and imperfect.

270. Learn the conjugation of the present and imperfect indicative active, middle, and passive of τῑμάω, *honor*, in 781.

271. Observe that

(1) α + o, ου, or ω = ω; α + ε = ᾱ; α + ει = ᾳ.

272. A contracted syllable is accented if either of the original syllables had an accent. A contracted penult or antepenult is accented regularly (21, 22). A contracted final syllable is circumflexed; but if the original word was oxytone (25), the acute is retained.

273. A verb is called a *vowel* verb, a *mute* verb, or a *liquid* verb, according to the final letter of its stem. This may be a vowel, a mute, or a liquid (λ μ ν ρ).

274. Most stems ending in a short vowel lengthen this vowel in all tenses except the present and imperfect, α or ε to η, and o to ω; but α after ε, ι, or ρ generally becomes ᾱ.

Thus, τῑμάω, τῑμήσω, ἐτίμησα, τετίμηκα, τετίμημαι, ἐτῑμήθην.

275.   VOCABULARY.

βοάω, βοήσομαι, ἐβόησα, *shout, call out, cry out.*

εἰ, conj., *if, whether* (a proclitic).

ἐρωτάω, ἐρωτήσω, *etc.*, *ask* a question, *inquire.*

νῑκάω, νῑκήσω, *etc.* (*cf.* νίκη), *conquer, surpass, be victorious.*

Ξενοφῶν, ῶντος, ὁ,   *Xenophon,* an Athenian, author of the *Anabasis.*

ὁρμάω, ὁρμήσω, *etc.*, *set in motion, rush;* mid., *set out* or *forth, start.*

πολλάκις, adv., *often, frequently.*

τῑμάω, τῑμήσω, *etc.* (*cf.* ἀ-τῑμάζω), *value, esteem, honor.*

276. 1. ἐνῑκᾶτε τοὺς μετὰ Κύρου φύλακας. 2. νῑκώμεθα ὑπὸ τῶν Κιλίκων. 3. ὁ δὲ Ξενοφῶν αὐτὸν ἠρώτα, "Τί (*why*) βοᾷς;" 4. Κῦρος δὲ ὡρμᾶτο ἀπὸ τῆς κώμης τῆς νυκτὸς[1] μετὰ Ξενοφῶντος. 5. οἱ ἀμφὶ Κῦρον λέγουσιν ὅτι τὰ πάντα[2] νικῶσι. 6. Κῦρος Κλέαρχον πολλάκις ἐτετῑμήκει· πάντας γὰρ τοὺς ἀγαθοὺς εἰς πόλεμον ἐτίμᾱ. 7. ἐρωτᾷ εἰ καὶ τοῖς ἄλλοις στρατιώταις αἱ σπονδαί εἰσιν. 8. οὗτοι οἱ στρατιῶται ἐνίκων τοὺς Θρᾷκας. 9. ἐν τοῖς Πέρσαις οἱ γέροντες τῑμῶνται. 10. καὶ εὐθὺς τῷ Κλεάρχῳ ἐβόᾱ ἄγειν τὸ στράτευμα κατὰ μέσον τὸ[3] τῶν πολεμίων.

277. 1. He conquers the enemy. 2. And he honored the general with other gifts.[4] 3. But the soldiers were shouting to the guards to stop. 4. This man asks whether you admire the army. 5. When Cyrus set out,[5] I proceeded[5] at once to Phrygia.

NOTES. — [1] Genitive of the *time within which* (854). — [2] *Adverbial* accusative (835), *are completely victorious.* — [3] Note the position of the article (812). — [4] Use the dative (866). — [5] Use the imperfect.

278.   The Speech of Clearchus, and its Effect.

"ἄνδρες (*fellow*) στρατιῶται, ἐμοὶ ξένος ἐστὶν ὁ Κῦρος καὶ πολλάκις ἤδη τετίμηκε. βούλομαι οὖν συμπορεύεσθαι αὐτῷ. ἐπεὶ δὲ ὑμεῖς ἐμοὶ οὐκ ἐθέλετε πείθεσθαι, ἐγὼ σὺν ὑμῖν ἕψομαι· ὑμεῖς γὰρ ἐμοί ἐστε καὶ φίλοι καὶ
5 σύμμαχοι."

ταῦτα ἔλεξεν. οἱ δὲ στρατιῶται οἵ τε αὐτοῦ ἐκείνου καὶ οἱ ἄλλοι ἐπαινοῦσι· παρὰ δὲ τῶν ἄλλων στρατηγῶν δισχίλιοι ἔχοντες τὰ ὅπλα καὶ τὰ σκευοφόρα στρατοπεδεύονται παρὰ Κλέαρχον.

NOTES. — 1. ἐμοί: dative of the first personal pronoun ἐγώ, *I* (Latin *ego*). For the case, see 862. — 3. ὑμεῖς: *you* (plural), genitive ὑμῶν, dative ὑμῖν, accusative ὑμᾶς. — 4. ἕψομαι: future of ἕπομαι, *follow.* — 7. ἐπαινοῦσι: by contraction for ἐπαινέουσι, from ἐπαινέω, *praise.*

No. 19.   Greek Armor.

LESSON XXIX.

Contract Verbs in ϵω and οω in the Indicative.

279. Learn the conjugation of the present and imperfect indicative active, middle, and passive of ποιέω, *do, make*, in 782, and of δηλόω, *manifest*, in 783.

280. Observe that

(2) ϵ + ω = ω; ϵ + ο or ου = ου; ϵ + ϵ or ϵι = ϵι.

281. Observe also that

(3) ο + ω = ω; ο + ο, ϵ, or ου = ου; ο + ϵι = οι.

a. Review the rule for accent in 272.

282.   VOCABULARY.

ἀδικέω, ἀδικήσω, *etc.* (*cf.* ἄδικος), *be unjust, do wrong, wrong, injure.*

ἄ-δικος, ον (ἀ *neg.* + δίκη), *unjust.*

ἄρχων, οντος, ὁ (*cf.* ἄρχω), *ruler, commander.*

δηλόω, δηλώσω, *etc.*, *make clear, show, manifest.*

Ἑλλάς, άδος, ἡ (*cf.* Ἑλληνικός), *Greece.*

κακῶς (*cf.* κακός), adv., *badly, ill.*

καλέω, καλῶ, ἐκάλεσα, κέκληκα,

κέκλημαι, ἐκλήθην, *call, summon, name.*

ὅτι, conj., *that, because, since.*

ποιέω, ποιήσω, *etc.*, *do, make;* κακῶς ποιέω, *treat badly, harm, injure, ravage.*

πολεμέω, πολεμήσω, *etc.* (*cf.* πόλεμος), *war, make war, fight.*

φιλέω, φιλήσω, ἐφίλησα, πεφίλημαι, ἐφιλήθην (*cf.* φίλος, φίλιος), *love.*

283. 1. ὁ δὲ ποταμὸς καλεῖται Μαίανδρος. 2. ὁ δὲ ἄρχων ἐπολέμει ἄδικον πόλεμον.[1] 3. τοὺς Κύρου φίλους κακῶς ποιεῖτε. 4. τούτους γὰρ τοὺς ἄρχοντας οἱ στρατιῶται μᾶλλον ἐφίλουν ἢ τοὺς ἄλλους. 5. ὑπὸ Κύρου Πρόξενος

οὐκ ἠδικεῖτο. 6. κακῶς ἐποίεις τὴν τοῦ σατράπου χώρᾱν. 7. φόβον ποιοῦσι τοῖς ἵπποις τῇ κραυγῇ.[2] 8. πάλιν δὲ ὁ Κῦρος ἠρώτα, "Ἡδίκουν τὸν ἄνθρωπον;" 9. δηλοῖ δὲ ὅτι ἄπορόν ἐστιν ἄγειν τὸ στράτευμα εἰς τὴν Ἑλλάδα. 10. ὑπὲρ τῆς Ἑλλάδος ἐπολέμουν μετὰ τῶν ἄλλων· ἐπεὶ δὲ Κῦρος ἐκάλει, ἐπορευόμην πρὸς αὐτόν.

284. 1. Are the other soldiers doing this? 2. The barbarians are wronged by the guards. 3. You love these more than (you love) the others. 4. The Thracians are wronging the allies. 5. They ask whether you were calling the bowmen.

NOTES. — [1] A *cognate* accusative (833). — [2] Dative of *means* (866).

285. Cyrus is perplexed, but states his professed Purpose.

Κῦρος δὲ μετεπέμπετο τὸν Κλέαρχον· ὁ δὲ ἰέναι μὲν οὐκ ἤθελε, λάθρᾳ δὲ τῶν στρατιωτῶν πέμπων αὐτῷ ἄγγελον ἔλεγε θαρρεῖν.

μετὰ δὲ ταῦτα συνήγαγε τοὺς στρατιώτᾱς καὶ δηλοῖ
5 ὅτι ἄπορόν ἐστι πάλιν πορεύεσθαι εἰς τὴν Ἑλλάδα ἄνευ τῶν ἐπιτηδείων· ἡ δ' ἀγορὰ ἦν ἐν τῷ βαρβαρικῷ στρατεύματι. οἱ δ' ἐρωτῶσι Κῦρον εἰ ἡ ὁδὸς μακρά ἐστιν· ὁ δ' ἀποκρίνεται (*answers*) ὅτι Ἀβροκόμᾱς ἐχθρὸς ἀνὴρ ἐπὶ τῷ Εὐφράτῃ ποταμῷ ἐστι· πρὸς τοῦτον οὖν βούλεται
10 πορεύεσθαι.

NOTES. — 1. ἰέναι: *to go* (*to him*), present infinitive of εἶμι, *go.* — 2. στρατιωτῶν: the genitive follows the adverb λάθρᾳ, *secretly, without the knowledge of* (856). — 3. θαρρεῖν: by contraction for θαρρέειν, and dependent on ἔλεγε, *bade him be of good courage.* — 4. συνήγαγε: *cf.* 267, 6. — 7. οἱ δέ, ὁ δέ: *cf.* 238, 2. — 8. ἐχθρὸς ἀνήρ: *a man (who is his) enemy.*

LESSON XXX.

Contract Nouns and Adjectives of the Vowel Declension.

286. Most adjectives in **εοs** and **οοs** suffer contraction.

287. Learn the declension of **χρῡσοῦς**, *golden*, **ἁπλοῦς**, *simple, sincere*, and **ἀργυροῦς**, *of silver*, in 751.

288. These adjectives, in their contracted forms (which alone occur in Attic Greek), differ from **ἀγαθός** and **ἄξιος** (750) only in the following particulars : (1) they have **οῦs** and **οῦν** for **οs** and **ον** ; (2) no distinct vocative forms occur ; (3) they circumflex the final syllable throughout, except in the nominative and accusative masculine and neuter dual.

289. Compound adjectives in **οοs** are of two terminations (130) and keep the accent on the same syllable as in the contracted nominative singular, as (εὔνοος) **εὔνους**, (εὔνοον) **εὔνουν**, *well-disposed*, genitive (εὐνόου) **εὔνου**, *etc.*

290. Some contract nouns are declined like the adjectives in 287.

291. Learn the declension of **νοῦς**, *mind*, **μνᾶ**, *mina*, and **γῆ**, *earth*, in 742.

292.   VOCABULARY.

ἀκῑνάκης, ου, ὁ, *short sword.* No. 11.

ἁπλοῦς, ῆ, οῦν, *simple, sincere.*

ἀργυροῦς, ᾶ, οῦν, *of silver, silver.*

γῆ, γῆς, ἡ, *earth, ground, land.*

ἕκαστος, η, ον, *each, every.*

εὔ-νους, ουν (εὖ + νοῦς), *well-disposed.*

μνᾶ, μνᾶς, ἡ, *mina* = $18.00.

νοῦς, νοῦ, ὁ, *mind; ἐν νῷ ἔχω, have in mind, intend.*

στρεπτός, οῦ, ὁ, *necklace, collar.* No. 21.

χαλκοῦς, ῆ, οῦν, *of bronze, bronze.*

χρῡσοῦς, ῆ, οῦν, *of gold, gold.*

293. 1. εὖνοι δὲ Κύρῳ οἱ ἄρχοντές εἰσιν.   2. φίλοις εὔνοις Κῦρος πιστὸς ἦν.   3. ἁπλοῦς ἦν ὁ τοῦ φύλακος λόγος.   4. τὰ δὲ δῶρα ἦσαν στρεπτοὶ χρυσοῖ.   5. Κῦρος ὁπλίτῃ ἑκάστῳ πέμψει πέντε μνᾶς.   6. τί (what) ἐν νῷ ἔχετε;   7. τότε ἐν τῇ γῇ πρῶτοι ἦσαν οὗτοι καὶ ἐν τῇ θαλάττῃ.   8. αἱ δὲ πέλται χαλκαῖ ἦσαν.   9. δῶρα δ' αὐτῷ ἐπέμψαμεν στρεπτὸν χρυσοῦν καὶ ἀκινάκην ἀργυροῦν.   10. ἐπολέμει τοῖς Θραξὶ[1] καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.

294. 1. Each of the heralds has five minas.   2. Cyrus sent the old man a gold collar.   3. What does the commander intend?   4. For Cyrus had a short sword of gold.   5. The other generals are well-disposed to Xenophon.

NOTE.—[1] *with the Thracians.*   For the case, see 864.

295. Cyrus promises additional Pay.   Syennesis becomes friendly.

τοῖς δὲ στρατιώταις ὑποψία μέν ἐστιν ὅτι ἄγει πρὸς Ἀρτα-
ξέρξην, ὅμως δὲ ἕπονται.   προσαιτοῦσι δὲ μισθόν.   ὁ δὲ
Κῦρος ὑπισχνεῖται ἑκάστῳ στρατιώτῃ ἀντὶ δᾱρεικοῦ τρία
ἡμιδᾱρεικά· ὅτι δὲ ἐπὶ τὸν ἀδελφὸν ἐν νῷ ἔχει πορεύεσθαι
5 ἐνταῦθα ἀκούει οὐδεὶς (nobody) ἕν γε τῷ φανερῷ.

ἐν δὲ Ταρσοῖς Συέννεσις μὲν ἔδωκε (gave) Κύρῳ χρή-
ματα εἰς τὴν στρατιάν, Κῦρος δὲ ἐκείνῳ ἵππον καὶ στρε-
πτὸν χρυσοῦν καὶ ψέλια καὶ ἀκινάκην χρυσοῦν.

NOTES. — 1. **τοῖς στρατιώταις**: dative of *possessor* (862), *the soldiers have their suspicions, i.e. they suspect.* — 3. **τρία**: Latin *tria.* — 4. **ἡμιδᾱρεικά**: ἡμι-equals Latin *sēmi-.* — 5. **ἕν γε τῷ φανερῷ**: *at least* (γέ, enclitic) *publicly.* — 8. **ψέλια**: for a picture of the ψέλιον, *armlet,* see No. 89.

LESSON XXXI.

Deponent Verbs.   Conditional Sentences.

296. Review the indicative of λύω in 765–770, and of the perfect and pluperfect indicative middle and passive of mute verbs in 775–777.

297. Many verbs, called DEPONENT Verbs, have no active voice, but are used in the middle or in the middle and passive in an active sense.

298. In most deponent verbs the principal parts are the present, future, aorist, and perfect of the indicative middle. These are called *middle* deponents. Thus, ἡγέομαι, *lead, conduct*, ἡγήσομαι, ἡγησάμην, ἥγημαι.

299. A few deponent verbs have the aorist passive instead of the aorist middle. These are called *passive* deponents. Thus, βούλομαι, *will, wish*, βουλήσομαι, βεβούλημαι, ἐβουλήθην.

300. Some verbs which have active forms are nevertheless used almost exclusively in the middle, or middle and passive, and practically become deponents, as μεταπέμπομαι and συστρατεύομαι, used as middle deponents, and πορεύομαι, as a passive deponent. See 178.

301. In conditional sentences the clause containing the condition is called the *protasis*, and that containing the conclusion is called the *apodosis*. The protasis is introduced by some form of εἰ, *if*.

302. The supposition contained in a protasis may be either *particular* or *general*. A particular supposition refers to a definite act supposed to occur at a definite time. A general supposition refers indefinitely to any act, which may be supposed to occur at any time.

303. The negative of the protasis is regularly **μή,** that of the apodosis is **οὐ.**

304. 1. **εἰ πράττει τοῦτο, καλῶς ἔχει,** *if he is doing this, it is well, si hōc facit, bene est.*

2. **εἰ ἔπραξε τοῦτο, καλῶς ἔχει,** *if he did this, it is well, si hōc fēcit, bene est.*

The protasis here has the indicative ; it states a particular supposition in the present or past, and implies nothing as to its fulfilment. The apodosis has its verb in the present indicative, but it may have any form of the verb demanded by the thought.

305. When the protasis *simply states* a present or past particular supposition, implying nothing as to the fulfilment of the condition, it has the indicative with **εἰ.** Any form of the verb may stand in the apodosis.

306. 1. **εἰ ἔπραξε τοῦτο, καλῶς ἂν ἔσχεν,** *if he had done this, it would have been well, si hōc fēcisset, bene fuisset.*

2. **εἰ ἔπραττε τοῦτο, καλῶς ἂν εἶχεν,** *if he were (now) doing this, it would be well, si hōc faceret, bene esset;* or, as in 306, 1, *if he had done this, it would have been well.*

The protasis in these examples has a secondary tense of the indicative ; it states a supposition in the present or past, and implies that the condition *is not,* or *was not fulfilled.* The apodosis has a secondary tense of the indicative with **ἄν.**

307. 1. When the protasis states a present or past supposition, implying that the condition *is not,* or *was not fulfilled,* the secondary tenses of the indicative are used in both protasis and apodosis. The apodosis has the adverb **ἄν.**

2. The imperfect here refers to present time or to an act as going on or repeated in past time (*cf.* 306, 2), the aorist to a simple occurrence in past time.

308.   **VOCABULARY.**

ἀπ-άγω, lead away or back.

βούλομαι, βουλήσομαι, βεβούλημαι, ἐβουλήθην, will, wish, desire.

ἡγέομαι, ἡγήσομαι, ἡγησάμην, ἥγημαι (cf. ἄγω), lead the way, lead, guide, conduct.

καλῶς (cf. καλός), adv., beautifully, bravely, finely, successfully, well; καλῶς ἔχει, it is well.

μή, adv., not.

πειράομαι, πειράσομαι, πεπείρᾱμαι, ἐπειράθην (274), try, attempt.

πρᾱ́ττω (πρᾱγ), πρᾱ́ξω, ἔπρᾱξα, πέπρᾱγα and πέπρᾱχα, πέπρᾱγμαι, ἐπρᾱ́χθην, do, act, accomplish.

χράομαι, χρήσομαι, ἐχρησάμην, κέχρημαι (cf. χρῆμα), use, make use of, employ.

309. 1. Κῦρος τοῖς ἵπποις¹ καλῶς ἐχρήσατο.   2. εἰ ταῦτα ἔπρᾱξαν, καλῶς ἔσχεν.   3. εἰ ταῦτα ἔπρᾱξαν, καλῶς ἂν ἔσχεν.   4. Ξενοφῶν ἐβούλετο μετὰ τῶν ἄλλων πορεύεσθαι.   5. τῷ στρατεύματι² ἥγηται εἰς τὸ πεδίον.   6. ἐβουλήθη πέμπειν ἀπὸ τοῦ στόματος ὁπλίτᾱς.   7. τὸν δὲ στρατηγὸν ἐπειρᾶτο πείθειν.   8. εἰ μὴ βούλεται Κλέαρχος αὐτοὺς ἀπάγειν, ἄλλοι στρατηγοὶ ἡγήσονται.   9. ἐπορεύετο ἂν ἐπὶ τοὺς πολεμίους, εἰ στράτευμα εἶχεν.   10. ἀλλ' εἰ βούλονται σὺν τοῖς ἄλλοις πορεύεσθαι εἰς τὴν Ἑλλάδα, ἥκειν κελεύει αὐτοὺς τῆς νυκτός.

310. 1. If he has the money, he will send (it) to the army. 2. He attempted to cut the enemy's army to pieces in the night.   3. If this is so,³ I will lead the troops at once to the stronghold.   4. He would not have done this, if I had not bidden him.   5. He wished to dismiss all the guards.

NOTES. — ¹ χράομαι, use (*serve oneself by*) takes the dative of *means* (866). *Cf.* Latin *ūtor* with the ablative. — ² Dative of *advantage* (861). — ³ οὕτως ἔχει.

311. Arrival of the Fleet at Issus with Reinforcements.

ἐντεῦθεν ἐξελαύνει σταθμοὺς πέντε παρασάγγας τριά-
κοντα εἰς Ἰσσούς. ἐνταῦθα μένουσιν ἡμέρᾱς τρεῖς · καὶ
Κύρῳ παρῆσαν αἱ ἐκ Πελοποννήσου νῆες τριάκοντα καὶ
πέντε καὶ ἐπ᾿ αὐταῖς ναύαρχος Πῡθαγόρᾱς Λακεδαιμόνιος.
5 αἱ δὲ νῆες ὥρμουν παρὰ τὴν Κύρου σκηνήν. παρῆν δὲ καὶ
Χειρίσοφος Λακεδαιμόνιος, μετάπεμπτος ὑπὸ Κύρου, ἑπτα-
κοσίους ἔχων ὁπλίτᾱς · τούτων ἐστρατήγει παρὰ Κύρῳ.

NOTES. — 3. **νῆες**: nominative plural of ναῦς. *Cf.* Latin *nāuēs.* —
4. **αὐταῖς**: refers to νῆες, which is feminine. — **ναύαρχος**: ναῦς + ἄρχω. —
5. **ὥρμουν**: see ὁρμέω. — 6. **μετάπεμπτος**: verbal adjective from μεταπέμπομαι.
— 7. **ἐστρατήγει**: *cf.* στρατηγός. The genitive follows στρατηγέω (847).

LESSON XXXII.

Subjunctive Active. Vivid Future Conditions.

312. Only the present, aorist, and perfect tenses occur in
the subjunctive. The perfect is rare.

313. The *time* expressed by the present and aorist subjunctive is gener-
ally future, the present expressing the action as *going on* or *repeated*, the
aorist expressing simply its *occurrence*, as **ἐὰν κωλύῃ**, *if he shall be hindering*,
or *if he shall hinder* (habitually), but **ἐὰν κωλύσῃ**, simply *if he shall hinder.*

314. Learn the conjugation of the subjunctive active of λύω
in 765 (**λύω**), 767 (**λύσω**), and 768 (**λελύκω**).

315. The subjunctive has the long vowel ω or η in place of the final
vowels ο or ε and α of the tense suffixes found in the indicative (138, 140,
148). The form is ω before μ or ν in the personal endings, elsewhere η.
The subjunctive uses the endings of the primary tenses (136).

316. ἐὰν πρά̄ττῃ (or πρά̄ξῃ) τοῦτο, καλῶς ἕξει, *if he shall do this (if he does this), it will be well, si hōc faciet, bene erit.*

The protasis is here introduced by ἐά̄ν, *if*, and has the subjunctive; it states a supposed future case vividly. The apodosis has its verb in the future indicative, but any other future form might occur.

317. When a supposed future case is stated *distinctly* and *vividly* (as in English, *if I shall go*, or *if I go*), the protasis has the subjunctive with ἐά̄ν, and the apodosis has the future indicative or some other form of future time.

318.   VOCABULARY.

ἀπο-χωρέω, ἀπο-χωρήσω, etc. (cf. χώρᾱ, χωρίον), give place, go away, withdraw.

βασιλεύω, βασιλεύσω, ἐβασίλευσα (cf. βασίλειος), be king.

ἐά̄ν, by contraction ἄ̄ν or ἤν (εἰ + ἄν), conj., *if*, with subjunctive.

ἐμπόριον, ου, τό, trading place, emporium.

παρ-έχω, hold beside or near, furnish, supply, give, cause.

πολιορκέω, πολιορκήσω, etc., hem in a city, besiege.

πρᾶγμα, ατος, τό (cf. πρά̄ττω), deed, thing, affair, difficulty; plur., affairs, trouble.

ὠφελέω, ὠφελήσω, etc., help, assist, benefit.

319. 1. ἢν παρέχωμεν ἀγοράν, ἕξετε τὰ ἐπιτήδεια. 2. ἐὰν μὴ ταῦτα ποιήσῃ, ἀδικήσει. 3. ἢν δὲ ἀποχωρήσωσι, Κῦρος αὐτοὺς οὐ τῑμήσει. 4. ἐὰν φίλον ποιήσῃς[1] τοῦτον, ὠφελήσει. 5. ἐὰν νῑκήσωμεν, τὴν χώρᾱν οὐ διαρπάσει. 6. ἐὰν οὖν πέμψητε τοῦτον πρὸς Κῦρον, πλοῖα ἕξετε. 7. ἐὰν δὲ μὴ πλοῖα ἄγῃ ἱκανά, τοῖς ἄλλοις χρησόμεθα. 8. ἐὰν δὲ οἱ Κίλικες πράγματα παρέχωσι, Κῦρος πορεύσεται ἐπ᾽ αὐτούς. 9. ἐὰν νῑκήσω, βασιλεύσω ἀντὶ τοῦ ἀδελφοῦ. 10. ἐὰν τὸ ἐμπόριον πολιορκήσῃς, ἀποχωρήσουσιν οἱ Κίλικες.

320. 1. The messenger shall have ten minas, if he does[2] this. 2. If he does not collect an army, his brother will be king. 3. If we proceed to this height, those above the road[3] will withdraw. 4. If he does not collect hoplites, he will not defeat his brother. 5. If we have troops and boats, we will besiege the emporium by land and sea.

NOTES. — [1] Verbs signifying *to make* may take a predicate accusative (here φίλον) besides the object accusative (840). — [2] Use the aorist. — [3] οἱ ὑπὲρ τῆς ὁδοῦ.

321.   Safe Passage of the "Syrian Gateway."

ἐντεῦθεν ἐξελαύνει ἐπὶ πύλᾶς τῆς Κιλικίᾶς καὶ τῆς Συρίᾶς. ἦσαν δὲ αὗται δύο τείχη, καὶ τὸ μὲν πρὸ τῆς Κιλικίᾶς τεῖχος Συέννεσις εἶχε καὶ Κιλίκων φυλακή, τὸ δὲ πρὸ τῆς Συρίᾶς Ἀρταξέρξου ἐλέγετο φυλακὴ φυλάττειν.
5 διὰ μέσου δὲ τούτων ῥεῖ ποταμός. καὶ ἡ πάροδος ἦν στενὴ καὶ τὰ τείχη εἰς τὴν θάλατταν καθῆκεν. ταύτᾶς τὰς πύλᾶς οὐκ ἐφύλαξεν Ἀβροκόμᾶς, ἀλλ' ἐπεὶ ἀκούει ὅτι Κῦρος ἐν Κιλικίᾳ ἐστί, παρὰ Ἀρταξέρξην ἀπελαύνει.

NOTES. — 1. πύλᾶς: the article is omitted, since the word is used almost as a proper name. — 2. ἦσαν: *were, consisted of.* — τείχη: nominative plural of the neuter noun τεῖχος, *wall.* — πρό: *facing.* — 5. διὰ μέσου: *between.*

No. 20.   φοβερὰ ἦν ἡ μάχη.

LESSON XXXIII.

Subjunctive Active (continued).　　**Subjunctive in Exhortations and in Final Clauses.**

322. Learn the conjugation of the present subjunctive of εἰμί, in 795.

323. 1. τὸν ξένον τῑμήσωμεν, *let us honor our guest.*

2. μὴ λύσωμεν τὴν γέφῡραν, *let us not destroy the bridge.*

Both these sentences express *exhortation;* the verb in each is in the first person plural of the subjunctive. If the exhortation is negative, μή, *not,* is used.

324. The *first person* of the subjunctive (generally plural) is used in exhortations. Its negative is μή.

325. 1. τὴν γέφῡραν λύσομεν, ἵνα (also ὡς or ὅπως) τοὺς πολεμίους κωλύσωμεν, *we will destroy the bridge, that we may check the enemy.*

2. τοῦτον ἀπάγομεν, ἵνα μὴ (also ὡς μή, or ὅπως μή, or simply μή) κακῶς τοὺς φίλους ποιήσῃ, *we are leading him away, that he may not do our friends harm.*

The subordinate clauses here express *purpose* and take the subjunctive; they are introduced by the final particle ἵνα (also ὡς or ὅπως), *that, in order that,* or, if negative, by ἵνα μή (also ὡς μή, or ὅπως μή, or simply μή), *that not, in order that not.* The verb of the principal clause is in a primary (50) tense.

326. Clauses which denote purpose (or *final* clauses) are introduced by the final particles ἵνα, ὡς, or ὅπως, and take the subjunctive after primary tenses. The negative is μή.

327. VOCABULARY.

αἰτέω, αἰτήσω, etc., ask, ask for, demand.

ἀκούω, ἀκούσομαι, ἤκουσα, ἀκήκοα, ἠκούσθην, hear, learn, hear of, give heed to.

ἀπ-ελαύνω, drive away; intrans., ride, march, or go away.

ἐάω, ἐάσω, εἴασα, εἴακα, εἴαμαι, εἰάθην (274), permit, allow, let go.

ἐκεῖ (cf. ἐκεῖνος), adv., in that place, there.

ἐλαύνω (ἐλα), ἐλῶ, ἤλασα, ἐλήλακα,

ἐλήλαμαι, ἠλάθην, drive; intrans., drive, ride, march.

κωλύω, κωλύσω, etc., hinder, prevent, check.

οὐδέ (οὐ + δέ), neg. conj., but not, and not, nor yet, nor; as adv., not even, not at all.

συγ-καλέω, call together, summon.

φεύγω (φυγ), φεύξομαι and φευξοῦμαι, ἔφυγον, πέφευγα, flee, run away, flee from, flee one's country, be an exile.

328. 1. μὴ τοῦτον ἐάσωμεν φεύγειν. 2. πάντας ὠφελεῖν πειρᾶται, ἵνα αὐτῷ φίλοι ὦσι. 3. διὰ τοῦ πεδίου ἐλαύνωμεν. 4. Κῦρον αἰτοῦσι[1] πλοῖα, ὡς τοὺς πελταστὰς ἀποπέμψωσι. 5. πολεμήσωμεν οὖν τοῖς βαρβάροις,[2] ἵνα μὴ τοὺς φίλους κακῶς ποιήσωσιν. 6. ἐὰν δὲ ὁ σατράπης ᾖ ἐπὶ τῷ Εὐφράτῃ ποταμῷ, ἀπελῶ. 7. ἢν δὲ φεύγῃ, ἐκεῖ πρὸς ταῦτα βουλευσόμεθα. 8. οὐδ᾽ ἐὰν ταῦτ᾽ ἀκούσῃ, συγκαλεῖ τοὺς στρατιώτᾱς. 9. μὴ κωλύωμεν τὸ Κύρου στράτευμα ἀπελαύνειν.

329. 1. Cyrus, let us honor[3] our guest. 2. Let us besiege[3] the emporium both by land and by sea. 3. And let us send with Xenophon[4] the peltasts from the van. 4. What (τί) will the soldiers have, if they conquer?[3] 5. He calls the generals together to persuade them to take the field with him.

NOTES. — [1] Verbs signifying to ask take two object accusatives (838). — [2] Cf. 293, 10. — [3] Use the aorist. — [4] Use the dative (865).

330. Xenias and Pasion Desert.

ἐντεῦθεν ἐξελαύνει διὰ Συρίας εἰς Μυρίανδον· ἐμπόριον
δ' ἐστὶ τὸ χωρίον ἐπὶ τῇ θαλάττῃ, καὶ οἰκεῖται ὑπὸ Φοι-
νίκων. ἐνταῦθα μένουσιν ἡμέρας ἑπτά· καὶ Ξενίας καὶ
Πασίων πλοῖον λαβόντες καὶ τὰ χρήματα ἀποπλέουσι,
5 χαλεπαίνοντες ὅτι Κῦρος τὸν Κλέαρχον εἴα τοὺς στρατιώ-
τᾶς αὐτῶν ἔχειν. Κῦρος δὲ συνεκάλεσε τοὺς στρατηγοὺς
καὶ ἔλεξε τάδε· " Ἀπολελοίπᾶσιν ἡμᾶς (us) Ξενίας καὶ
Πασίων. ἀλλὰ μὰ τοὺς θεοὺς οὐκ αὐτοὺς διώξω, οὐδὲ
αὐτοὺς κακῶς ποιήσω." οἱ δ' ἄλλοι στρατηγοὶ ἐπεὶ
10 ἤκουσαν τὴν Κύρου ἀρετήν, ἡδέως συνεπορεύοντο.

NOTES. — 2. **οἰκεῖται**: passive, *is inhabited.* — 4. **λαβόντες**: *having taken,*
second aorist active participle of λαμβάνω, declined like ἑκών (752),
λαβών, λαβοῦσα, λαβόν, *etc.* — 8. **θεούς**: accusative in a negative oath (837).

No. 21. Darius III.

LESSON XXXIV.

Subjunctive Middle and Passive. Subjunctive after Verbs of Fearing.

331. Learn the conjugation of the subjunctive middle and passive of λύω, in 765 (λύωμαι), 767 (λύσωμαι), 769 (λελυμένος ὦ), and 770 (λυθῶ).

332. The long vowel ω or η (315) is used also in the middle and passive in all the tenses. But in the aorist passive it is *added* to the tense stem (195), as λυθε-ω, λυθῶ (by contraction). The subjunctive uses the endings of the primary tenses (315), here the middle and passive endings (175), except in the aorist passive where the *active* endings occur (136).

333. 1. **δέδοικα μὴ τὰς γεφύρᾱς λύωσι,** *I fear that they will destroy the bridges.*

2. **δεδοίκαμεν μὴ οὐ πιστοὶ ἦτε,** *we fear that you will not be faithful.*

The subordinate clause, which expresses the thing feared and is the *object* of the leading verb, here takes the subjunctive; it is introduced by **μή,** *that* or *lest* (Latin *nē*), or if negative by **μὴ οὐ,** *that not* (Latin *ut*). The verb which denotes fear is in a primary tense.

334. After verbs denoting *fear, caution,* or *danger,* **μή,** *that* or *lest,* takes the subjunctive after primary tenses. The negative form is **μὴ οὐ.**

No. 22.   Persian Daric.

335.   VOCABULARY.

δέδοικα, a perf. with force of pres., aor. ἔδεισα (cf. δεινός), *fear*, of reasonable fear.

δια-σπάω, *draw apart, separate.*

ἐξ-απατάω, ἐξ-απατήσω, etc., *deceive grossly, mislead.*

ἐπι-κίνδῦνος, ον (cf. κίνδῦνος), *dangerous, perilous.*

κίνδῦνος, ου, ὁ, *danger, peril.*

νομίζω (νομιδ), νομιῶ, etc., *regard, consider, think.*

σπάω, ἔσπασα, ἔσπακα, ἔσπασμαι, ἐσπάσθην, *draw.*

σχολή, ῆς, ἡ, *leisure;* σχολῇ, *slowly.*

φοβέω, φοβήσω, ἐφόβησα (cf. φόβος, φοβερός), *frighten;* commonly pass. dep., *be frightened, fear,* of unreasoning fear.

336. 1. παυσώμεθα, ὦ φίλοι, ταύτης τῆς μάχης.[1] 2. σχολῇ[2] πορεύονται ἵνα μὴ ἡ φάλαγξ διασπασθῇ. 3. Κῦρος τὸν σατράπην φίλον[3] οὐ νομιεῖ,[4] ἐὰν ἐπὶ τὴν ἀρχὴν πορεύηται ἐκεῖνος. 4. βοῶσι πάντες, ἵνα οἱ πολέμιοι ἐξαπατηθῶσι. 5. φοβοῦνται γὰρ μὴ οὐ ὁ σατράπης τοῦ πολέμου παύηται. 6. ἢν δὲ ἡ γέφῡρα λυθῇ, οἱ πολέμιοι ἀποχωρήσουσι. 7. ἡ δὲ χώρᾱ πολεμίᾱ ἐστίν· ἐπικίνδῡνον οὖν ἔσται[5] ἐὰν πορεύησθε δι᾽ αὐτῆς. 8. δέδοικα μὴ σπάσηται τὸν ἀκῑνάκην. 9. κίνδῡνός ἐστι μὴ τῆς νυκτὸς οἱ πολέμιοι πορεύωνται ἐπ᾽ αὐτούς.

337. 1. I fear that the satrap will be sent.   2. Let us deliberate about this.   3. We will destroy the bridge, that the enemy may not send for the peltasts.   4. I do not fear that this man will be made[6] satrap.   5. There is no danger that Cyrus will wish to pursue these generals.

NOTES. — [1] A genitive of *separation* (849). — [2] A dative of *manner* (866). — [3] A *predicate* accusative (840). — [4] Future third singular. — [5] Third singular of the future (ἔσομαι) of εἰμί (for ἔσεται). — [6] Use the aorist.

338.   Advance to the Euphrates.

μετὰ ταῦτα Κῦρος ἐξελαύνει παρασάγγας εἴκοσιν
ἐπὶ τὸν Χάλον ποταμόν· ἐνῆσαν δὲ ἐν τῷ ποταμῷ
ἰχθύες, οὓς (*which*) οἱ Σύροι θεοὺς ἐνόμιζον καὶ ἀδικεῖν
οὐκ εἴων.   ἐσκήνουν δὲ οἱ στρατιῶται ἐν ταῖς Παρυσά-
5 τιδος κώμαις.   ἐντεῦθεν ἐξελαύνει ἐπὶ τὰς πηγὰς τοῦ
Δάρδατος ποταμοῦ.   ἐνταῦθα ἦσαν βασίλεια καὶ παρά-
δεισος καλός.   Κῦρος δ' αὐτὸν ἐκκόπτει καὶ τὰ βασίλεια
κατακάει.   ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς ἐπὶ τὸν
Εὐφράτην ποταμόν.

NOTES. — 2. **ἰχθύες**: *fish*, nominative plural of ἰχθῦς, ύος, ὁ. — 4. **οὐκ
εἴων**: *i.e. they permitted nobody.* — **Παρυσάτιδος**: the mother of Cyrus.   The
income from these villages supplied her with "pin money." — 7. **αὐτόν**:
the park.

No. 23.   A Youthful Knight.

LESSON XXXV.

Contract Verbs in the Subjunctive.

339. Learn the conjugation of the present subjunctive active, middle, and passive of **τῑμάω** in 781, of **ποιέω** in 782, and of **δηλόω** in 783.

340. Observe that

(1) α + ω = ω; α + η = ᾱ; α + ῃ = ᾳ;
(2) ε + ω = ω; ε + η = η; ε + ῃ = ῃ;
(3) ο + ω = ω; ο + η = ω; ο + ῃ = οι.

341.   **VOCABULARY.**

ἀ-μαχεί (ἀ neg. + μάχη), adv., *without fighting.*

ἀργύριον, ου, τό (cf. ἀργυροῦς), *silver money, money.*

ἐθέλω, ἐθελήσω, ἠθέλησα, ἠθέληκα, *be willing, wish.*

ἕπομαι (σεπ), **ἕψομαι, ἑσπόμην,** *follow, accompany.*

κατ-άγω, *bring back, restore.*

λοιπός, ή, όν (cf. λείπω), *remaining;* with the art., *the rest.*

νῦν, adv., *now, just now.*

παρα-καλέω, *call to one's side, summon.*

συμ-πορεύομαι, *accompany.*

φυγάς, άδος, ὁ (cf. φεύγω), *fugitive, exile.*

342. 1. ἐὰν δὲ τοὺς στρατιώτᾱς ἀδικῇ, οὐκ ἐθελήσομεν ἕπεσθαι. 2. φοβοῦνται μὴ τοὺς Κύρου φίλους πειρᾶσθε κακῶς ποιεῖν. 3. ἐὰν δὲ τούτους νῑκῶμεν, πάντες ἕψονται. 4. ἐρωτῶμεν τὸν ἄγγελον εἰ τὸ ἀργύριον ἔχει. 5. φοβεῖται μὴ πειρῶνται κατάγειν τοὺς φυγάδας. 6. ἐν τῷ φανερῷ λέξει ἵνα πᾶσι δηλοῖ τί (*what*) ἐν νῷ ἔχει. 7. ἐὰν τὸ στρά-

τευμα ἀποχωρῇ τῆς νυκτός, ἕψονται οἱ πολέμιοι. 8. ἢν δὲ
τοὺς ἄλλους στρατιώτᾱς παρακαλῆτε, πειράσονται πάντες
ἀγαθοὶ εἶναι.¹ 9. ἢν δὲ Κῦρος ἐᾷ τὸν Κλέαρχον τοὺς στρα-
τιώτᾱς ἔχειν, οὐκέτι συμπορεύσονται οἱ ἄλλοι στρατηγοί.
10. ἐὰν νῦν τοὺς φίλους παρακαλῶμεν, ἀμαχεὶ τὴν λοιπὴν
ὁδὸν² πορευσόμεθα.

343. 1. Let us ask Cyrus what he intends. 2. He fears
that the troops will demand their pay. 3. Let us set forth,
soldiers, against these Cilicians. 4. With the help of³ the
gods, let us conquer the enemy. 5. We fear that the soldiers
may wrong our allies.

NOTES. — ¹ *to be.* — ² *A cognate* accusative (833). — ³ *with the help of,* σύν.

344. The real Object of the Expedition is disclosed.

  ἐνταῦθα μένουσιν ἡμέρᾱς πέντε, καὶ τοῖς στρατηγοῖς
τοῖς Ἑλληνικοῖς Κῦρος λέγει ὅτι ἡ ὁδὸς ἔσται πρὸς τὸν
Ἀρταξέρξην εἰς Βαβυλῶνα· καὶ κελεύει αὐτοῖς λέγειν
ταῦτα τοῖς στρατιώταις καὶ πείθειν ἔπεσθαι. οἱ δὲ στρα-
5 τιῶται χαλεπαίνουσι τοῖς στρατηγοῖς, καὶ οὐκ ἐθέλουσιν
ἔπεσθαι ἐὰν μὴ Κῦρος αὐτοῖς χρήματα διδῷ ὥσπερ καὶ
πρότερον. ταῦτα οἱ στρατηγοὶ Κύρῳ ἔλεγον· ὁ δ᾽
ὑπισχνεῖται στρατιώτῃ ἑκάστῳ πέντε ἀργυρίου μνᾶς ἐπὴν
εἰς Βαβυλῶνα ἥκωσι. τὸ μὲν δὴ Ἑλληνικὸν οὕτως
10 ἐπείσθη.

NOTES. — 5. στρατηγοῖς: dative of *indirect object* after χαλεπαίνουσι
(860). — 6. διδῷ: *give,* third singular present subjunctive of δίδωμι. —
7. πρότερον: *previously,* an adverb in the comparative (*cf.* πρό). — 8. ἐπήν:
whenever, followed by the subjunctive, like ἐάν.

LESSON XXXVI.

Liquid Stems of the Consonant Declension.

345. Learn the declension of **ἀγών**, *contest*, **ἡγεμών**, *guide*, **μήν**, *month*, and **ῥήτωρ**, *orator*, in 745.

346. The nominative singular rejects **s** and lengthens the vowel of the stem, if this is not already long. In the dative plural **ν** is dropped before **σ**. The vocative singular is like the nominative in oxytones; in other liquid stems it is like the stem.

347. Learn the declension of **πατήρ**, *father*, **μήτηρ**, *mother*, and **ἀνήρ**, *man*, in 746.

348. 1. **πατήρ** and **μήτηρ** drop **ε** of the stem in the genitive and dative singular and accent the last syllable. Elsewhere they retain **ε** except in the dative plural, where **ερ** is changed to **ρα** ; **ε** is accented except in the cases named and in the vocative singular, which is the mere stem and has recessive accent.

2. **ἀνήρ** drops **ε** wherever a vowel follows **ερ** and inserts **δ** in its place. **δ** is inserted also in the dative plural. The accent is thrown back except in the genitive and dative.

349.   VOCABULARY.

ἀγών, ῶνος, ὁ (cf. ἄγω), *gathering, assembly, contest, games;* ἀγῶνα ποιεῖν, *hold games.*

ἀνήρ, ἀνδρός, ὁ, *man*, Lat. *uir.*

Ἕλλην, ηνος, ὁ (cf. Ἑλληνικός, Ἑλλάς), *a Greek.*

ἡγεμών, όνος, ὁ (cf. ἡγέομαι), *leader, guide.*

μήν, μηνός, ὁ, *month.*

μήτηρ, μητρός, ἡ, *mother*, Lat. *māter.*

οἴκαδε (cf. οἰκία), adv., *home, homeward.*

πατήρ, πατρός, ὁ, *father*, Lat. *pater.*

ῥήτωρ, ορος, ὁ, *speaker, orator.*

ψηφίζομαι (ψηφιδ), ψηφιοῦμαι, *etc.*, mid. dep., *vote, decide.*

350. 1. ἀγῶνα δὲ ἐποιήσαντο οἱ Ἕλληνες. 2. ταύτῃ τῇ ἡμέρᾳ[1] μεθ᾽ ἡγεμόνος ἐπορεύοντο οἴκαδε. 3. λέγει Κῦρος ὅτι ὁ ἀνὴρ ἐπὶ τῷ Εὐφράτῃ ποταμῷ ἐστιν. 4. ἡ δὲ μήτηρ Κῦρον ἀποπέμπει πάλιν ἐπὶ τὴν ἀρχήν. 5. ἀλλὰ καὶ πατέρα[2] Ξενοφῶντα ἐκάλουν. 6. καὶ ἀριθμὸν τῶν Ἑλλήνων ἐποίησεν ἐν τῷ παραδείσῳ. 7. ἐψηφίσαντο δὲ οἱ Ἕλληνες πορεύεσθαι μετὰ τοῦ ἀνδρός. 8. καὶ ἔπεμψε Κῦρος πέντε μηνῶν[3] μισθόν. 9. ἐν τοῖς Ἕλλησιν ἦσαν ῥήτορες ἀγαθοί.

351. 1. His father summoned Cyrus. 2. They voted to send men with Clearchus. 3. Cyrus was made satrap of Phrygia by his father. 4. Each man shall have five minas of silver.[4] 5. He carried on war with the Greeks.

NOTES. — [1] Dative of the *time when* (870). — [2] *Predicate* accusative (840). — [3] Genitive of *measure* (841, 5). — [4] Genitive of *material* (841, 4).

352. Menon's clever Device to win the Favor of Cyrus.

Μένων δὲ πρὶν δῆλον εἶναι τί ποιήσουσιν οἱ ἄλλοι Ἕλληνες, πότερον ἔψονται Κύρῳ ἢ οὔ, συνέλεξε τὸ αὐτοῦ στράτευμα καὶ ἔλεξε τάδε· "Ἄνδρες, νῦν δεῖται Κῦρος ἕπεσθαι τοὺς Ἕλληνας ἐπὶ Ἀρταξέρξην. ἐγὼ οὖν κελεύω
5 ὑμᾶς (*you*) εὐθὺς διαβαίνειν τὸν ποταμόν. ἢν μὲν γὰρ ψηφίσωνται ἕπεσθαι, ὑμᾶς τῶν ἄλλων προτιμήσει στρατιωτῶν Κῦρος · ἢν δὲ ἀποψηφίσωνται οἱ ἄλλοι, πορευσόμεθα ἄπαντες οἴκαδε πάλιν."

NOTES. — 1. **πρὶν δῆλον εἶναι**: *before it was evident.* — 2. **πότερον ... ἤ**: *whether ... or.* — **Κύρῳ**: the dative follows ἕπομαι (864). — **οὔ**: accented at the end of a sentence. — **συνέλεξε**: see συλλέγω. — **αὐτοῦ**: *cf.* 267, 4. — 7. **στρατιωτῶν**: dependent on the preposition included in the compound verb (852).

LESSON XXXVII.

Interrogative and Indefinite Pronouns.

353. The principal interrogative pronoun is **τίς, τίς, τί,** *who? which? what?* (Latin *quis*). It always has the acute accent on the first syllable, except in the short forms **τοῦ, τῷ,** and never changes the acute to the grave.

354. The indefinite pronoun is **τις, τις, τι,** *some, any* (Latin *aliquis*), or, used substantively, *somebody, anything* (Latin *quīdam*). It is enclitic.

355. Learn the declension of **τίς** and **τις** in 763.

356.   VOCABULARY.

δέω, δεήσω, *etc.*, *lack, want, need;* mid., *lack, desire, request;* **δεῖ,** used impersonally, *there is need, it is proper, one ought.*

ἐπ-αινέω, ἐπ-αινέσω, *etc., praise.*

ἕτερος, ᾱ, ον, *the other, one of two;* without the art., *another, other.*

ἥδομαι, ἡσθήσομαι, ἥσθην, *be glad, be pleased.*

Μένων, ωνος, ὁ, *Menon.*

ποῖος, ᾱ, ον, interr. pron., *of what sort?* Lat. *quālis.*

τόσος, η, ον, interr. pron., *how much?* Lat. *quantus.*

ͬφενδονήτης, ου, ὁ (*cf. σφενδόνη*), *slinger.* No. 24.

ͬίς, τί, interr. pron., *who? which? what?*

ͭις, τι, encl. indef. pron., *a, some, any, a certain;* as noun, *somebody, anything.*

No. 24.   *σφενδονῆται.*

357. 1. τοῦτο λέγει τις. 2. τίς τοῦτο λέγει; 3. λέγουσι δέ τινες ὅτι Κῦρος ἤσθη. 4. ἦν δέ τις ἐν τῇ στρατιᾷ Μένων Θετταλός. 5. καὶ ἐρωτᾷ τὸν σφενδονήτην πόσον ἀργύριον ἔχει. 6. ἐὰν νικῶσι, τί[1] δεῖ αὐτοὺς λύειν τὴν γέφυραν; 7. ἐν ποίοις πράγμασιν ἦσαν οἱ Ἕλληνες; 8. ἐρωτᾷ τίνος[2] ἐστὶν ὁ ἵππος. 9. Κῦρος ἔπαισεν ἄνδρα Πέρσην καὶ ἕτερόν τινα τῶν ἡγεμόνων. 10. ἐρωτᾷ τὸν ἄγγελον τίς ἐπαινεῖ τοὺς Μένωνος στρατιώτᾱς.

358. 1. Why need the men proceed? 2. What does he say to[3] this? 3. Somebody asks whether you said this. 4. What sort of men ought to take the field? 5. How many slingers have you in the army?

NOTES. — [1] *Adverbial* accusative, *why?* (835). — [2] *Predicate* genitive of *possession* (843). — [3] πρός with accusative.

359. Cyrus is greatly pleased and himself crosses the Euphrates.

οἱ δὲ Μένωνος στρατιῶται ἐπεὶ ταῦτ᾽ ἤκουσαν, πείθονται καὶ διαβαίνουσι τὸν ποταμὸν πρὶν τοὺς ἄλλους λέγειν τί ποιήσουσι. Κῦρος δὲ ἤσθη τε καὶ τῷ στρατεύματι δι᾽ ἀγγέλου ἔλεξεν· "Ἐγὼ μέν, ὦ ἄνδρες, ἤδη ὑμᾶς
5 ἐπαινῶ· εὐθὺς δὲ καὶ ὑμεῖς ἐμὲ ἐπαινέσετε, ἢ (or) οὐκέτι ἐγὼ Κῦρός εἰμι." οἱ μὲν δὴ στρατιῶται ἐν ἐλπίσι καλαῖς ἦσαν, Μένωνι δὲ καὶ δῶρα λέγεται πέμψαι. μετὰ δὲ ταῦτα διέβαινε τὸν ποταμόν· εἵπετο δὲ καὶ τὸ ἄλλο στράτευμα αὐτῷ ἅπαν.

NOTES. — 2. πρὶν . . . λέγειν: *before the rest said.* — 5. ἐμέ: me, accusative. See the notes on 278, 1 and 3. — 7. πέμψαι: *to have sent*, aorist active infinitive. — 8. εἵπετο: for the augment, see 871, 5. — 9. αὐτῷ: *cf.* 352, 2.

LESSON XXXVIII.

Optative Active. Less Vivid Future Conditions.

360. Besides the present, aorist, and perfect, found in the subjunctive (312), the optative has the future and future perfect. For the distinction of time between the present and the aorist, see 313.

361. Learn the conjugation of the optative active of λύω in 765 (λύοιμι), 766 (λύσοιμι), 767 (λύσαιμι), and 768 (λελύκοιμι).

362. The optative adds the *Mood Suffix* ι (in the third plural ιε) to the tense stem, as λύο-ι-μι, λύσα-ι-μι. In the perfect the α of the stem λελυκα is changed to ο. The optative uses the endings of the secondary tenses (145), but the first person singular active takes μι. The forms λύσειας, λύσειε, λύσειαν, in the aorist, are irregular, but they are in common use instead of λύσαις, λύσαι, λύσαιεν. For the accent of λύοι, λύσοι, λύσαι, see 23.

363. εἰ πράττοι (or πράξειε) τοῦτο, καλῶς ἂν ἔχοι, *if he should do this, it would be well, si hōc faciat, bene sit.*

The protasis is here introduced by εἰ, *if,* and has the optative ; it states a supposed future case less vividly than the subjunctive (317). The apodosis has its verb in the optative with the adverb ἄν.

364. When a supposed future case is stated in a *less distinct* and *vivid* form (as in English, *if I should go*), the protasis has the optative with εἰ, and the apodosis has the optative with ἄν.

365. VOCABULARY.

διαβατός, ή, όν, *fordable, passable.*

δίκαιος, ᾱ, ον (*cf.* δίκη), *just, right.*

δικαίως (*cf.* δίκαιος), adv., *justly, rightly.*

δοκέω, δόξω, ἔδοξα, δέδογμαι, ἐδόχθην, *seem, seem best* or *good, think;* δοκεῖ, etc., impers., *it seems, it seems best.*

ἐπι-σῑτίζομαι (σῑτιδ), ἐπι-σῑτιοῦμαι, ἐπεσῑτισάμην (*cf.* σῖτος), *furnish one-self with provisions, collect* or *procure supplies, forage.*

κλείω, κλείσω, ἔκλεισα, κέκλειμαι and κέκλεισμαι, ἐκλείσθην, *shut, close.*

πεζῇ (*cf.* πεζός), adv., *on foot.*

πεζός, ή, όν, *on foot;* οἱ πεζοί, *the infantry.*

ῥᾳδίως, adv., *easily.*

σῖτος, ον, ὁ, *grain, food, supplies.*

366. 1. εἰ ταῦτα ποιήσειεν, ἀποχωρήσαιμεν ἄν. 2. εἰ παρέχοιμεν ἀγοράν, ἔχοιτ᾽ ἂν καὶ σῖτον καὶ οἶνον. 3. εἰ νικήσαιμεν, οὐκ ἂν τὴν χώραν διαρπάσειεν. 4. ἀξίους ἂν ἔχοι φίλους, εἰ ἔχοιεν τὰ ὅπλα. 5. εἰ ἀπάγοιμι αὐτοὺς πάλιν εἰς τὴν Ἑλλάδα, δικαίως ἂν χάριν ἔχοιεν. 6. εἰ δόξειε τοῖς πεζοῖς ἐπισῑτίζεσθαι, τί ἂν ποιήσαιτε; 7. εἰ τὰς πύλᾱς κλείσειαν, πολιορκήσαιτε ἂν αὐτοὺς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. 8. εἰ ὁ ποταμὸς μὴ πεζῇ διαβατὸς εἴη,[1] πλοῖα συνάγοιεν ἄν. 9. εἰ δὲ μισθὸν πέμψειεν αὐτοῖς, συμμάχους ἂν ἔχοι δικαίους καὶ ἀγαθούς.

367. 1. If you should do this, we should justly feel grateful. 2. If they should plot evil against him,[2] he would do them harm. 3. It would be well, if the general should call the men together. 4. If we should besiege the fort, the enemy would withdraw. 5. If they should resolve[3] to proceed, Cyrus would send them a leader.

NOTES. — [1] *should prove to be.* — [2] Use the simple dative (861). — [3] *I.e. if it should seem best to them.*

368.   The Gods send a Portent.   Advance to the Araxes.

διέβαινον δὲ τὸν ποταμὸν πεζῇ· πλοῖα γὰρ οὐκ εἶχον.
οὐπώποτε δὲ οὗτος ὁ ποταμὸς διαβατὸς ἦν πεζῇ εἰ μὴ
τότε, ἀλλὰ πλοίοις. ἐδόκει δὴ τοῖς στρατηγοῖς καὶ τοῖς
στρατιώταις πᾶσι θεῖον εἶναι.

5   ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Συρίᾱς σταθμοὺς ἐννέα
παρασάγγᾱς πεντήκοντα· καὶ ἀφικνοῦνται πρὸς τὸν
Ἀράξην ποταμόν. ἐνταῦθα ἦσαν κῶμαι μεσταὶ σίτου
καὶ οἴνου. ἐνταῦθα ἔμενον ἡμέρᾱς τρεῖς καὶ ἐπεσῑτίζοντο.

NOTES. — 2. ἦν: with force of pluperfect, *had been.* — 3. πλοίοις: dative
of *instrument* (866). — 7. σίτου καὶ οἴνου: dependent on μεσταί, *stored with.*
Verbal adjectives signifying *fulness* and *want* take the genitive (855).

No. 25. Greek Armor.

LESSON XXXIX.

Optative Active (continued).   Optative in Final Clauses.
Object Clauses.

369. Learn the conjugation of the present optative of **εἰμί** in 795.

370. 1. **τὴν γέφῦραν ἐλύσαμεν, ἵνα** (also **ὡς** or **ὅπως**) **τοὺς πολεμίους κωλύσαιμεν,** *we destroyed the bridge, that we might check the enemy.*

2. **τοῦτον ἀπήγομεν, ἵνα μὴ** (also **ὡς μὴ**, or **ὅπως μὴ**, or simply **μὴ**) **κακῶς τοὺς φίλους ποιήσειε,** *we led him away, that he might not do our friends harm.*

The clauses which express purpose here take the *optative* (*cf.* 325), but they are introduced by the same final particles that introduce the subjunctive.   The verb of the principal clause is here in a *secondary* (50) tense.

371. Clauses which denote purpose (or *final* clauses) are introduced by the final particles **ἵνα, ὡς,** or **ὅπως,** and take the optative after secondary tenses.   The negative is **μή.**

372. 1. **βουλεύεται ὅπως βασιλεύσει ἀντὶ τοῦ ἀδελφοῦ,** *he plans that he may be king in place of his brother.*

2. **ἐβουλεύετο ὅπως βασιλεύσει ἀντὶ τοῦ ἀδελφοῦ,** *he planned that he might be king in place of his brother.*

3. **βουλεύεται ὅπως μὴ ἔσται ἐπὶ τῷ ἀδελφῷ,** *he plans that he may not be in his brother's power.*

4. **ἐβουλεύετο ὅπως μὴ ἔσται ἐπὶ τῷ ἀδελφῷ,** *he planned that he might not be in his brother's power.*

The subordinate clause is here the object of the leading verb, which signifies *to plan* or *strive for* (the leading verb may also signify *to care for*, *to effect*); this subordinate clause is introduced by ὅπως or, if negative, by ὅπως μή, and has the future indicative whether the principal verb is in a primary or a secondary tense.

373. Object clauses depending on verbs signifying *to strive for*, *to care for*, *to effect*, regularly take the future indicative with ὅπως or ὅπως μή after both primary and secondary tenses.

374.   **VOCABULARY.**

ἐπι-μελέομαι, ἐπι-μελήσομαι, ἐπι-μεμέλημαι, ἐπ-εμελήθην, *exercise care, care for, give attention to, see to.*

ἔρημος, η, ον, and ος, ον (130), *deserted, uninhabited, deprived of.*

ζητέω, ζητήσω, *etc., seek, ask for.*

λαμβάνω (λαβ), λήψομαι, ἔλαβον, εἴληφα, εἴλημμαι, ἐλήφθην, *take, receive, get, find.*

πορίζω (πορίδ), ποριῶ, *etc., furnish, provide*; mid., *obtain.*

τīμή, ῆς, ἡ (cf. τīμάω), *value, honor, esteem.*

τίμιος, ā, ον (cf. τīμή), *valued, dear.*

375. 1. ὁ ἄρχων τοῖς Ἕλλησιν ἡγεμόνα ἔπεμψεν, ἵνα διὰ τῆς πολεμίᾱς χώρᾱς ἄγοι αὐτούς. 2. τοῦτον τὸν ἄνδρα ὠφέλει, ἵνα φίλον ἔχοι. 3. τίς ἐπιμελεῖται ὅπως οἱ στρατιῶται τὸν μισθὸν λήψονται; 4. τῶν δὲ βαρβάρων[1] ἐπεμελεῖτο, ὅπως πολεμεῖν τε ἱκανοὶ εἴησαν καὶ εὖνοι αὐτῷ. 5. ἐζήτουν τοὺς ἄρχοντας, ἵνα αὐτοῖς συμβουλεύοιεν. 6. τῷ Κλεάρχῳ ἐπεβούλευε Μένων, ἵνα φίλος εἴη τῷ σατράπῃ. 7. ἄξιοι ἂν εἶτε τῑμῆς[2] φίλοι, εἰ πορίζοιτε τῷ στρατεύματι ὅπλα. 8. ἐπιμελήσεται ὁ Κῦρος ὅπως οἱ στρατιῶται χάριν ἕξουσιν αὐτῷ. 9. καὶ σὺν αὐτοῖς μὲν εἴην ἂν τίμιος, αὐτῶν[3] δὲ εἰ ἔρημος εἴην, οὐκ ἂν ἱκανὸς εἴην τοὺς φίλους ὠφελεῖν.

376. 1. If you should send a guide, we should be grateful.
2. This he did that the rest of the Greeks might withdraw.[4]
3. He took care that he should have good friends.   4. I did
this in order that the enemy might not hear.   5. Let us plan
to get provisions.

NOTES. — [1] The genitive follows verbs signifying *to care for* (846). —
[2] The genitive depending on ἄξιος, *worthy*, is the genitive of *value* (853).
— [3] The genitive depends on adjectives signifying *fulness* or *want* (855).
— [4] Use the aorist.

377.   Advance through the Desert of Arabia.

ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Ἀραβίας, τὸν Εὐφράτην
ποταμὸν ἐν δεξιᾷ ἔχων, σταθμοὺς ἐρήμους πέντε παρα-
σάγγας τριάκοντα καὶ πέντε.   ἐν τούτῳ δὲ τῷ τόπῳ ἦν ἡ
γῆ πεδίον ἅπαν ὁμαλὸν ὥσπερ θάλαττα.   θηρία δὲ παν-
5 τοῖα ἐνῆν, ὄνοι ἄγριοι καὶ στρουθοὶ αἱ Ἀράβιαι· ἐνῆσαν
δὲ καὶ ὠτίδες καὶ δορκάδες.   ταῦτα δὲ τὰ θηρία οἱ στρα-
τιῶται ἐνίοτε ἐδίωκον ἀπὸ ἵππων· καὶ τοὺς ὄνους χαλεπὸν
ἦν λαμβάνειν· θᾶττον γὰρ τῶν ἵππων ἔτρεχον.

NOTES. — 5. **στρουθοί** : for an ancient picture of the *ostrich*, see no. 28. —
8. **ἵππων** : a genitive of *comparison* (858) after **θᾶττον**, *more quickly*, the
comparative of the adverb ταχέως, *quickly*.

No. 26.   Chariot Race.

LESSON XL.

Optative Middle and Passive.   Optative after Verbs of Fearing.

378. Learn the conjugation of the optative middle and passive of λύω in 765 (λῡοίμην), 766 (λῡσοίμην), 767 (λῡσαίμην), 769 (λελυμένος εἴην and λελῡσοίμην), and 770 (λυθείην and λυθησοίμην).

379. The mood suffix is ι, as in the active (362), except in the aorist passive; here it is ιη in the singular and sometimes in the dual and plural, but the shorter forms λυθεῖτον, λυθείτην, *etc.*, occur more frequently. In these forms the accent does not go back of the mood suffix. The optative middle and passive uses the middle and passive secondary endings (175), except in the aorist passive, where the *active* endings occur (145).

380. 1. ἔδεισα μὴ τὰς γεφύρᾱς λύοιεν, *I feared that they would destroy the bridges.*

2. ἐδείσαμεν μὴ οὐ πιστοὶ εἶτε, *we feared that you would not be faithful.*

The verb which denotes fear is here in a secondary tense (*cf.* 333), and the subordinate clause takes the optative.

381. After verbs denoting *fear, caution,* or *danger,* **μή,** *that* or *lest,* takes the optative after secondary tenses. The negative form is **μὴ οὐ.**

382.   VOCABULARY.

εἴσω (*cf.* εἰς), adv., *inside, within.*

ἑκατέρωθεν, adv., *on both sides* or *flanks.*

εὐνοϊκῶς (*cf.* εὔνους), adv., *with good will, kindly.*

ἐχθρός, ά, όν, *hostile;* ἐχθρός, ὁ, as noun, *enemy, foe.*

κύκλος, ου, ὁ, *circle, curve.*

κυκλόω, κυκλώσω, *etc.*, *encircle, hem in.*

ὅμως, adv., *nevertheless, yet, still, however.*

πλησιάζω (πλησιαδ), πλησιάσω, etc., *approach.*

στερέω, στερήσω, etc., *deprive, rob, bereave.*

σῴζω (σω, σωδ), σώσω, ἔσωσα, σέσωκα, σέσωμαι and σέσωσμαι, ἐσώθην, *save, rescue, keep safe*; mid. and pass., *save oneself, be saved alive, return safely.*

σῶμα, ατος, τό, *body, life, person.*

383. 1. ἔδεισε μὴ οἱ ἐχθροὶ τιμηθεῖεν. 2. εἰ οἱ Ἕλληνες πλησιάζοιεν, φοβηθεῖεν ἂν οἱ πολέμιοι. 3. Ξενοφῶντα ἄρχοντα ἐποιησάμεθα ἵνα σωθεῖμεν. 4. εὐνοϊκῶς ἂν ἔχοι[1] τοῖς Ἕλλησιν ὁ Κῦρος, εἰ ψηφίσαιντο συμπορεύεσθαι. 5. εἰ ὅπλα μὴ ἔχοιμεν, καὶ τῶν σωμάτων[2] στερηθεῖμεν ἄν. 6. εἰ δὲ πιεζοίμεθα ὑπὸ τῶν πολεμίων, πορευοίμεθα ἂν κύκλῳ.[3] 7. οἱ δὲ στρατιῶται ἔδεισαν μὴ καταλειφθείησαν. 8. εἰ νικήσαιμεν, καὶ (both) σῳζοίμεθα ἂν καὶ τὰ ἐπιτήδεια ἂν ἔχοιμεν. 9. ἀλλ' ὅμως ὁ στρατηγὸς ἐφοβήθη μὴ κυκλωθείη ἑκατέρωθεν. 10. παρεκάλουν τοὺς ἄνδρας εἴσω ὅπως αὐτοῖς συμβουλευοίμην τί δίκαιόν ἐστι καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων.

No. 27. Masks of Pan.

384. 1. I feared that the bridge would be destroyed. 2. There was danger that the barbarians might try[4] to withdraw during the night. 3. He was afraid that the enemy would not cease from war. 4. I would not take part in the expedition, unless Xenophon were present.

NOTES. — [1] *be well disposed.* ἔχω is used with an adverb in the sense of εἰμί with an adjective. *Cf.* καλῶς ἔχει in 308. — [2] Verbs of *depriving* may take a genitive of the thing. *Cf.* 838. This is the genitive of *separation* (849). — [3] Dative of *manner* (866). — [4] Use the aorist.

385.   The Soldiers go hunting.

οἱ γὰρ ὄνοι, ἐπεὶ οἱ στρατιῶται ἐδίωκον, προέτρεχον ·
καὶ πάλιν, ἐπεὶ ἐπλησίαζον οἱ ἵπποι, ταὐτὸ ἐποίουν, καὶ
οὐκ ἦν λαμβάνειν εἰ μὴ οἱ στρατιῶται διετάττοντο.
στρουθὸν δὲ οὐδεὶς (nobody) ἔλαβεν. ταῖς γὰρ πτέρυξιν
5 ὥσπερ ἱστίῳ ἐχρῆτο, καὶ οἱ διώκοντες ταχὺ ἐπαύοντο.
τὰς δὲ ὠτίδας, εἴ τις ταχὺ διώκει, ἔστι λαμβάνειν ·
πέτονται γὰρ βραχὺ καὶ ταχὺ ἀπαγορεύουσι.

NOTES. — 2. ἦν: *was possible.* *Cf.* ἔστι in 6. — 3. διετάττοντο: *posted themselves at intervals,* and thus took up the chase in succession. — 4. ἔλαβε: second aorist of λαμβάνω. — πτέρυξιν: χράομαι takes the dative. *Cf.* 309, 1. — 5. ἐχρῆτο: irregular contraction for ἐχράτο. — 7. βραχύ: *a short distance.*

No. 28.   "ταῖς γὰρ πτέρυξιν ὥσπερ ἱστίῳ ἐχρῆτο."

LESSON XLI.

Contract Verbs in the Optative.

386. Learn the conjugation of the present optative, active, middle, and passive of τῑμάω in 781, of ποιέω in 782, and of δηλόω in 783.

387. The mood suffix in all the voices is ι, except in the singular active, where it is generally ιη. The forms bracketed in the paradigms are uncommon or rare. When the mood suffix is ιη, the first person singular active has the regular ending ν (145).

388. Observe that

$$(1) \quad α + οι = ῳ ;$$
$$(2) \quad ε + οι = οι ;$$
$$(3) \quad ο + οι = οι.$$

389. VOCABULARY.

ἀρετή, ῆς, ἡ, *goodness, courage, valor.*

ἡττάομαι, ἡττήσομαι, *etc.*, pass. dep., *be inferior, be defeated.*

λῡπέω, λῡπήσω, *etc.*, *grieve, annoy, molest.*

μισθοφόρος, ον (μισθός + φέρω, *bear, receive*), *receiving pay;* μισθοφόροι, οἱ, *mercenaries.*

μισθόω, μισθώσω, *etc.* (*cf.* μισθός), *let*

out for hire, let; mid., *cause to be let to oneself, hire.*

ὄνομα, ατος, τό, *name.*

πῶς, interr. adv., *how?*

τάχα, adv., *quickly;* in apod. with ἄν, *perhaps.*

τῑμωρέω, τῑμωρήσω, *etc.*, *avenge;* mid., *avenge oneself on, take vengeance on, punish.*

390. 1. πῶς ἂν τὴν μάχην ποιοίμην; 2. εἰ ἀκούσαιμι τὸ τούτου τοῦ κακοῦ ἀνθρώπου ὄνομα, τῑμωρησαίμην ἄν. 3. κίνδῡνος ἦν μὴ ὁ σατράπης λῡποίη τοὺς Ἕλληνας. 4. εἰ

οἱ Ἕλληνες νικῷεν τοὺς βαρβάρους, καλῶς ἂν ἔχοι.
5. οὐκ ἂν οὖν θαυμάζοιμι εἰ οἱ πολέμιοι πειρῷντο αὐτοῖς
ἕπεσθαι. 6. πάντες ἐφοβοῦντο μὴ ὁ Κλέαρχος τῑμωροῖτο
τοὺς στρατιώτᾱς. 7. εἰ ὅπλα ἔχοιμεν, καὶ τῇ ἀρετῇ ἂν
χρώμεθα. 8. ἐφοβοῦντο μὴ οὐκέτι τῷ στρατεύματι ἡγοῖτο.
9. εἰ δὲ ἡττῶντο οἱ φύλακες, οὐκ ἂν σωθεῖεν. 10. τούτους
τοὺς μισθοφόρους τάχ' ἂν μισθοῖτο, εἰ πορεύοιντο εἰς τὴν
ἀρχήν.

391. 1. I feared that they would withdraw to the boats.
2. If we should ravage their land, the enemy would be
frightened. 3. If they should be defeated, they would with-
draw. 4. But when Cyrus called (me), I proceeded, that
I might be of service to him. 5. The Greeks would march
away to Phrygia, unless somebody should molest them.

392.   March to Corsote and Pylae. Cattle perish in the Desert.

πορευόμενοι δὲ διὰ ταύτης τῆς χώρᾱς ἀφικνοῦνται ἐπὶ
τὸν Μάσκᾱν ποταμόν. ἐνταῦθα ἦν πόλις ἐρήμη, ὄνομα
δ' αὐτῇ Κορσωτή· περὶ δ' αὐτὴν ῥεῖ ὁ ποταμὸς κύκλῳ.
ἐνταῦθα ἐπεσῑτίσαντο. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς ἐρή-
5 μους τρεισκαίδεκα παρασάγγᾱς ἐνενήκοντα, τὸν Εὐφράτην
ποταμὸν ἐν δεξιᾷ ἔχων, καὶ ἀφικνεῖται ἐπὶ Πύλᾱς. ἐν
τούτοις τοῖς σταθμοῖς πολλὰ τῶν ὑποζυγίων ἀπώλετο ὑπὸ
λῑμοῦ. οὐ γὰρ ἦν χόρτος οὐδὲ δένδρον, ἀλλὰ ψῑλὴ ἦν
ἅπᾱσα ἡ χώρᾱ.

Notes. — 1. πορευόμενοι : *proceeding,* present participle in the middle. —
2. πόλις : *city,* a feminine noun. — 7. πολλά : *many,* a neuter plural. —
ἀπώλετο : *perished,* a second aorist middle.

LESSON XLII.

Stems in σ of the Consonant Declension.

393. Learn the declension of **εὖρος**, *breadth*, **τριήρης**, *trireme*, and **κρέας**, *meat*, in 747.

394. The stem ends in **σ** (εὐρεσ, τριηρεσ, κρεασ). In masculine and feminine nouns **ε** in the final syllable of the stem is lengthened to **η** in the nominative singular (**τριήρης**); in neuter nouns it is changed to **ο** in the nominative, accusative, and vocative singular (**εὖρος**).

395. Final **σ** of the stem is dropped before all case endings, and the vowels thus brought together are contracted. The vocative singular of masculine and feminine nouns is the simple stem. The forms **τριήροιν** and **τριήρων** have recessive accent.

No. 29. *κράνος.*

396.   VOCABULARY.

ἐπι-λείπω, leave behind; intrans., fail.

εὖρος, ους, τό, breadth, width.

κέρας, κέρως and κέρᾱτος, τό, horn of an animal, wing of an army.

κράνος, ους, τό, headpiece, helmet. No. 29.

κρέας, κρέως, τό, flesh; plur., pieces of flesh, meat.

ὁπλίζω (ὁπλιδ), ὥπλισα, ὥπλισμαι, ὡπλίσθην (cf. ὅπλον), arm, equip. No. 30.

ὄρος, ους, τό, mountain.

πλέθρον, ου, τό, a plethrum, a measure of 100 Greek feet.

Σωκράτης, ους, ὁ, voc. Σώκρατες, Socrates, the celebrated philosopher.

τεῖχος, ους, τό, wall, fort.

Τισσαφέρνης, ους, ὁ, acc. Τισσαφέρνην, voc. Τισσαφέρνη, of A-Decl., Tissaphernes.

τριήρης, ους, ἡ, trireme, war vessel, with three banks of oars.   No. 86.

No. 30.   ὁπλίζεται ὁ νεᾱνίᾱς.

397. 1. εἶχε δὲ καὶ τριήρεις ὁ Κῦρος.   2. τούτου τοῦ ποταμοῦ τὸ εὖρός ἐστι πέντε πλέθρα.   3. καὶ ἐκέλευε Κλέαρχον τοῦ δεξιοῦ κέρως[1] ἡγεῖσθαι.   4. τὸ δὲ Μένωνος στράτευμα ἤδη ἐν τῇ χώρᾳ ἦν εἴσω τῶν ὀρέων.[2]   5. ὡπλισμένοι ἦσαν θώρᾱξι[3] καὶ κράνεσι[3] πάντες.   6. ἐντεῦθεν ἐπορεύθησαν πρὸς τεῖχος ἔρημον.   7. Ξενοφῶν τὴν ἐπιστολὴν ἔπεμψε Σωκράτει.   8. τοὺς στρατιώτᾱς ὁ μὲν σῖτος

ἐπέλειπε, κρέα δ' ἔτι εἶχον. 9. ἦν δὲ ταῦτα τείχη,[4] καὶ τὸ
μὲν[5] εἶχε Κιλίκων φυλακή, τὸ δὲ[5] Ἀρταξέρξου ἐλέγετο
φυλακὴ φυλάττειν. 10. ἐπεὶ δὲ ἦσαν ἐπὶ ταῖς θύραις ταῖς
Τισσαφέρνους,[6] οἱ στρατηγοὶ παρεκλήθησαν εἴσω.

398. 1. But Menon had the left wing. 2. And Xenophon
consults with Socrates.[7] 3. The generals proceeded through the
mountains. 4. They all had helmets of bronze. 5. Thence
he sent the messenger upon the mountains.

NOTES. — [1] The genitive follows ἡγέομαι, but not ἄγω, which is an
important exception to the general rule (847). — [2] The genitive follows the
adverb of *place* (856). — [3] Dative of *instrument* (866). — [4] The predicate;
ταῦτα is the subject. — [5] *the one . . . the other.* See 815. — [6] For the position
of the genitive, see 812. — [7] Dative (865).

399.   Great Hardships in the Desert.

οἱ δ' ἐν τούτῳ τῷ τόπῳ ἄνθρωποι ὄνους ἀλέτᾱς παρὰ
τὸν ποταμὸν ὀρύττοντες καὶ ποιοῦντες εἰς Βαβυλῶνα ἦγον
καὶ ἐπώλουν καὶ ἀνταγοράζοντες σῖτον ἔζων. τὸ δὲ στρά-
τευμα ὁ σῖτος ἐπέλειπε, καὶ ἀγοράζεσθαι οὐκ ἦν εἰ μὴ ἐν
5 τῇ Λῡδίᾳ ἀγορᾷ ἐν τῷ Κύρου βαρβαρικῷ. καὶ τίμιος ἦν
ὁ σῖτος · κρέα οὖν ἐσθίουσιν οἱ στρατιῶται. τούτων
πολλοὺς δὲ τῶν σταθμῶν πάνυ μακροὺς ἤλαυνε Κῦρος ·
πολλάκις γὰρ ἔδει μακρὰν πορεύεσθαι πρὸς χόρτον.

NOTES. — 1. **ὄνους ἀλέτᾱς**: *upper millstones*, which were turned some-
times by hand, sometimes by a beast. See No. 66. — 2. **ποιοῦντες**: by
contraction for ποιέοντες. — 3. **ἔζων**: see ζάω. — 4. **ἦν**: *was possible.* —
7. **πολλούς**: *many*, accusative plural masculine. The following μακρούς
modifies this as a predicate adjective, *many of these marches that Cyrus made
were very long.* — 8. **μακρᾶν**: sc. ὁδόν, *a long way.*

LESSON XLIII.

Imperative Active.

400. The tenses occurring in the imperative are the present, aorist, and perfect, but only a few perfect *active* forms occur, and these are rare. For the distinction of time between the present and aorist, see 313.

401. The personal endings in the active are:

	SINGULAR.	DUAL.	PLURAL.
2	θι	τον	τε
3	τω	των	ντων

402. Learn the present and aorist imperative active of λύω in 765 (λῦε) and 767 (λῦσον).

403. In the second person singular of the present, θι is dropped. The form λῦσον in the aorist is irregular.

404. Learn the present imperative of εἰμί in 795.

405. 1. παῖε, εἰ κελεύει ὁ παῖς, *strike, if the lad commands it.*

2. ἀγόντων τοὺς στρατιώτᾱς, *let them bring the soldiers.*

3. πρὸς θεῶν συμβούλευσον αὐτοῖς, *in Heaven's name, advise them.*

406. The imperative expresses a command, exhortation, or entreaty.

407. 1. μὴ διδασκέτω (present imperative) τοὺς παῖδας ἀδικεῖν, *let him not teach the boys to do wrong.*

2. τοῦτον τὸν παῖδα μὴ παίσῃς (aorist subjunctive), *do not strike this boy.*

408. In prohibitions, in the second and third persons, the *present imperative* or the *aorist subjunctive* is used with **μή** and its compounds.

409.   VOCABULARY.

διδάσκω (διδαχ), διδάξω, ἐδίδαξα, δεδί-
  δαχα, δεδίδαγμαι, ἐδιδάχθην, *teach,*
  instruct, show. Nos. 1 and 36.

γήλοφος, ου, ὁ (γῆ + λόφος, *crest, hill*),
  mound of earth, hillock, hill.

δύο, *two.*

κομίζω (κομιδ), κομιῶ, *etc., carry away,*
  bring, convey.

κράτος, ους, τό, *strength, force, might.*

μέρος, ους, τό, *division, part, share,*
  portion.

ὀργή, ῆς, ἡ, *temper, anger.*

παῖς, παιδός, ὁ, ἡ, *child, boy, girl, son.*

πηλός, οῦ, ὁ, *clay, mire, mud.*

σπεύδω, σπεύσω, ἔσπευσα, *urge, hasten,*
  be urgent.

ὥσπερ, conj. adv., *just as, as it were,*
  as if.

410. 1. μὴ ἄγε, ὦ Κλέαρχε, τὸ στράτευμα ἐπὶ τὰ ὄρη.
2. μὴ ποιήσῃς ταῦτα, ὦ Σώκρατες. 3. Κύρῳ μᾶλλον φίλοι
ἔστε ἢ τῷ ἀδελφῷ. 4. μὴ δίδασκε τὸν παῖδα ἀδικεῖν.
5. μὴ ὁρμήσητε ἀνὰ κράτος κατὰ τοῦ γηλόφου. 6. ἅμα τῇ
ἡμέρᾳ δύο ἀγγέλους πεμψάντων πρὸς τὸ τεῖχος. 7. σπεύ-
σατε, ὦ Πέρσαι, καὶ κομίσατε τὰς ἁμάξας ἐκ τοῦ πηλοῦ.
8. μέρος τι τοῦ βαρβαρικοῦ στρατεύματος πέμψατε ἐπὶ τὴν
γέφυραν. 9. παρακάλεσον ὥσπερ ὀργῇ[1] τοὺς Πέρσας εἴσω.
10. καὶ εἰς τὸ μέσον τοὺς ἄρχοντας ἄγετε· παρέστω δὲ ὁ
κῆρυξ.

411. 1. Send the messengers to the hill. 2. Be loyal to
the Greeks. 3. Do not destroy the bridges. 4. Be friends
and allies, soldiers, to Cyrus. 5. Fellow soldiers, do not
wonder that[2] I am grieved.

NOTES. — [1] Dative of manner, *in anger* (866). — [2] ὅτι.

412.   The Wagons get stalled in the Mire.

καὶ δή ποτε ἐν στενῷ καὶ πηλῷ ταῖς ἁμάξαις δυσπο-
ρεύτῳ ἔταξεν ὁ Κῦρος δύο ἄρχοντας τῶν Περσῶν λαμβά-
νειν τοῦ βαρβαρικοῦ στρατεύματος καὶ συνεκβιβάζειν τὰς
ἁμάξᾱς. ἐπεὶ δ᾽ ἐδόκουν αὐτῷ σχολαίως ποιεῖν, ὥσπερ
5 ὀργῇ ἐκέλευσε τοὺς περὶ αὐτὸν Πέρσᾱς τοὺς καλοὺς κἀγα-
θοὺς συνεπισπεύδειν τὰς ἁμάξᾱς. ἔνθα δὴ μέρος τι τῆς
εὐταξίᾱς ἦν θεᾶσθαι.

NOTE. — 3. στρατεύματος: partitive genitive (844).

LESSON XLIV.

Imperative Middle and Passive.

413. The personal endings in the middle and passive are :

	SINGULAR.	DUAL.	PLURAL.
2	σο	σθον	σθε
3	σθω	σθων	σθων

414. Learn the present, aorist, and perfect imperative
middle and passive of λύω in 765 (λύου), 767 (λῦσαι), 769
(λέλυσο), and 770 (λύθητι).

415. The form λῦσαι in the aorist is irregular. The aorist passive
uses the active endings (401), and lengthens the tense suffix θε to θη
before a single consonant. λύθητι is for λυθη-θι.

416.   VOCABULARY.

αἰτιάομαι, αἰτιᾱ́σομαι, *etc.*, mid. dep.,
    blame, reproach, accuse.

ἀ-παράσκευος, ον (*cf.* παρασκευή), *un-*
    prepared.

βιάζομαι (βιαδ), βιά́σομαι, *etc.*, mid.
    dep., *force, compel, overpower.*

ἕνεκα, improper prep. with gen., *on*
    account of.

ἐπισῑτισμός, οῦ, ὁ (cf. ἐπισῑτίζομαι), a
   procuring of supplies, foraging.
παρα-κελεύομαι, urge along, exhort,
   urge.

χείρ, χειρός, ἡ, hand, arm.
χιτών, ῶνος, ὁ, undergarment. No. 51.
χρῄζω (χρηδ), want, need, desire.
ψέλιον, ου, τό, armlet, bracelet. No. 89.

417. 1. εἰ δὲ χρῄζεις, πορεύου ἐπὶ τὸ ὄρος. 2. εἰς τὸ
πεδίον ἀθροισθέντων οἱ Ἕλληνες. 3. τὰ δὲ πλοῖα μὴ μετα-
πέμψησθε. 4. παρακελεύεσθε Τισσαφέρνει στρεπτοὺς πέμ-
πειν τοῖς ἄρχουσι καὶ ψέλια καὶ χιτῶνας. 5. πορευέσθω
ἐν τῇ δεξιᾷ χειρὶ τὴν μάχαιραν ἔχων. 6. τὰ δὲ ἐπιτήδεια
ἀγοράζεσθε καὶ συμπορεύθητε. 7. εὐθὺς οὖν πορεύεσθε
μετὰ Κύρου εἰς τὴν ἀγορὰν ἐπισιτισμοῦ ἕνεκα. 8. μὴ
αἰτιάσησθε τὸν ἄρχοντα ὅτι ἀπαράσκευός ἐστιν. 9. τοῦτον,
ὦ ἄνδρες στρατιῶται, παίετε καὶ βιάσασθε πορεύεσθαι.

418. 1. Urge the soldiers to rest. 2. Send, Cyrus, for the
generals and the captains of the Greeks. 3. Proceed with
them, soldiers, into the villages. 4. Let the mercenaries be
collected in the market-place. 5. Proceed slowly, soldiers,
through the plain.

419.   Splendid Discipline of the Persian Nobles.

   ὥρμησαν γὰρ ὥσπερ περὶ νίκης κατὰ γηλόφου, ἔχοντες
τούς τε καλοὺς χιτῶνας καὶ τὰς ποικίλας ἀναξυρίδας,
ἔνιοι δὲ καὶ στρεπτοὺς περὶ τοῖς τραχήλοις καὶ ψέλια
περὶ ταῖς χερσίν· εὐθὺς δὲ σὺν τούτοις εἰσεπήδησαν εἰς
5 τὸν πηλὸν καὶ ἐξεκόμισαν τὰς ἁμάξας.

   ὁ δὲ Κῦρος ἔσπευδε πᾶσαν τὴν ὁδὸν καὶ οὐ διέτριβεν
ὅπου μὴ ἐπισῑτισμοῦ ἕνεκα ἢ (or) τινος ἄλλου ἔδει· ἐβού-
λετο γὰρ τὸν Ἀρταξέρξην ἀπαράσκευον λαμβάνειν.

LESSON XLV.

Contract Verbs in the Imperative.

420. Learn the conjugation of the present imperative active, middle, and passive of **τῑμάω** in 781, of **ποιέω** in 782, and of **δηλόω** in 783.

421. Observe that

(1) α + ε = ᾱ;   α + ο or ου = ω;

(2) ε + ε = ει;   ε + ο or ου = ου;

(3) ο + ε, ο, or ου = ου.

422.   VOCABULARY.

ἀπ-αιτέω, *ask from, demand.*

δεῦρο, adv., *hither, here.*

διφθέρᾱ, ᾶς, ἡ, *tanned hide.*

δρόμος, ου, ὁ, *run, race course.*

ἰδιώτης, ου, ὁ, *private person or soldier, private.*

Λακεδαιμόνιος, ᾱ, ον, *Lacedaemonian.*

μη-κ-έτι (μή + ἔτι), adv., *not again, no longer.*

ὅπου, rel. adv., *where, wherever.*

σχεδίᾱ, ᾶς, ἡ, *raft, float.*   No. 31.

τολμάω, τολμήσω, etc., *risk, dare.*

423. 1. μὴ πολεμεῖτε ἄδικον πόλεμον.[1] 2. τολμάτω καὶ ὁ ἰδιώτης λέγειν. 3. μηκέτι ἀπαιτεῖτε τὸν μισθόν. 4. ὁρμᾶσθε ὐθὺς πεζῇ ἀπὸ τοῦ ἐμπορίου. 5. ἐκ τῶν διφθερῶν σχεδίᾱς ποιεῖσθε. 6. κάλει τοὺς Λακεδαιμονίους δεῦρο. 7. μηκέτι ϳοβοῦ, ὦ Κλέαρχε, μὴ κυκλωθῇς ἑκατέρωθεν. 8. ἡγεμόνα ἰτεῖτε[2] Κῦρον, ἵνα διὰ φιλίᾱς τῆς χώρᾱς ἀπάγῃ. 9. ἐρώτα ὶὲ αὐτοὺς τίνος δὴ ἕνεκα ἐστράτευσαν ἐπὶ τοὺς φίλους. 0. ἡγοῦ, ὦ νεᾱνίᾱ, ὅπου τὸν δρόμον πεποίηκας.

649. Conjugate the perfect middle systems of **στέλλω** and **φαίνω** in 778 and 779.

Give their synopses.

650. If ν is not dropped (625), it is changed to σ before μ, as φαίνω (φαν), πέφασμαι.

651. In the inflection, σ between two consonants is dropped.

652.   VOCABULARY.

ἀπο-στέλλω, *send away, despatch.*

δια-σπείρω, *scatter about, scatter.*

θαρρέω, θαρρήσω, ἐθάρρησα, τεθάρρηκα, *be bold* or *courageous.*

οἰωνός, οῦ, ὁ, *omen.*

οὐδαμοῦ (cf. οὐ), adv., *nowhere.*

ὀφθαλμός, οῦ, ὁ (cf. ὄψομαι), *eye.*

παρ-αγγέλλω, *pass along an order, give orders, order.*

σπείρω (σπερ), σπερῶ, ἔσπειρα, ἔσπαρμαι, ἐσπάρην, *sow, throw about, scatter, disperse.*

σφόδρα, adv., *exceedingly.*

σωτηρία, ᾱς, ἡ (cf. σωτήρ), *safety, deliverance.*

ταράττω (ταραχ), ταράξω, ἐτάραξα, τετάραγμαι, ἐταράχθην, *trouble, disturb, agitate.*

653. 1. θαυμάζω ὅτι οὐδαμοῦ Κῦρος πέφανται.   2. παρήγγελτο[1] δὲ τοῖς ἱππεῦσι θαρροῦσι[2] διώκειν.   3. καὶ ταῦτα

655.　　　Cyrus advances with Less Caution.

ἐπεὶ δ' ἐπὶ τῇ τάφρῳ οὐκ ἐκώλῡε βασιλεὺς τὸ Κύρου
στράτευμα διαβαίνειν, ἔδοξε καὶ Κύρῳ καὶ τοῖς ἄλλοις οὐ
μέλλειν μαχεῖσθαι· ὥστε τῇ ὑστεραίᾳ Κῦρος ἐπορεύετο
ἠμελημένως μᾶλλον. τῇ δὲ τρίτῃ ἐπί τε τοῦ ἅρματος
5 καθήμενος τὴν πορείᾱν ἐποιεῖτο καὶ ὀλίγους ἐν τάξει ἔχων
πρὸ αὑτοῦ, τὸ δὲ πολὺ αὐτῷ ἀνατεταραγμένον ἐπορεύετο
καὶ τῶν ὅπλων τοῖς στρατιώταις πολλὰ ἐπὶ ἁμαξῶν ἤγετο
καὶ ὑποζυγίων.

NOTES. — 1. **ἐκώλῡε** : imperfect of attempted action. — 2. **ἔδοξε** : personal
construction, the subject being a pronoun referring to βασιλεύς. —
5. **καθήμενος** : *sitting*, participle of the verb κάθημαι, *sit*. Both καθήμενος
and ἔχων are participles of *manner* (495, 3). — 6. **αὐτῷ** : dative of *disadvan-
tage* (861); στρατιώταις, in the next line, is a dative of *advantage*.

LESSON LXXI.

First Passive System.　　Complex Sentences in Indirect Discourse.

656. Review 553, 6.

657. Conjugate the first passive system of λύω, *loose*, in 770.

Give its synopsis, first in the first aorist, then in the first future.

658. Liquid verbs suffer in the main the same changes in
the first passive system as in the first perfect system (623–626).

Thus, ἀγγέλλω (ἀγγελ), ἠγγέλθην (623); τείνω (τεν), ἐτάθην (624,
625); κρίνω (κριν), ἐκρίθην (625); βάλλω (βαλ), ἐβλήθην; τέμνω (τεμ),
ἐτμήθην (626).

659. If ν is not dropped (625), it remains unchanged, as φαίνω (φαν), ἐφάνθην.

660. When a complex sentence, *i.e.* a sentence consisting of a leading and a dependent clause or clauses, is indirectly quoted, its *leading* verb follows the rule for simple sentences (569, 572, 590, 469, 608, 628), but its *dependent* verb or verbs are subject to the law illustrated in the following examples:

661. 1. λέγει ὅτι φλυᾱρεῖ ὅστις ταῦτα λέγει, *he says that whoever says this talks nonsense.*

2. καλῶς ἕξειν φησίν, ἐὰν τοῦτο πράττωσι, *he says that it will be well if they do this.*

3. ὑπισχνεῖται αὐτοῖς μὴ πρόσθεν παύσεσθαι πρὶν ἂν αὐτοὺς καταγάγῃ οἴκαδε, *he promises them not to stop until he brings them back home.*

4. τοὺς ἡγεμόνας φησὶν ἄξειν οὓς μετεπέμψαντο, *he says that he will bring the guides whom they sent for.*

5. λέγει ὅτι καλῶς ἂν ἔσχεν εἰ ἔπρᾱξαν τοῦτο, *he says that it would have been well if they had done this.*

6. φησὶ πρᾶξαι ἂν ὅ τι βούλοιντο, *he says that he would do whatever they might wish.*

Each complex sentence is here quoted after a primary tense, and the verb of its *dependent* clause changes neither its mood nor its tense.

Convert each quoted complex sentence above into its original form.

662. 1. εἶπεν ὅτι φλυᾱροίη ὅστις ταῦτα λέγοι (this might be ὅστις ταῦτα λέγει), *he said that whoever said this talked nonsense.*

2. καλῶς ἕξειν ἔφη, εἰ τοῦτο πράττοιεν (this might be ἐὰν τοῦτο πράττωσι), *he said that it would be well if they did this.*

3. ὑπέσχετο αὐτοῖς μὴ πρόσθεν παύσεσθαι πρὶν αὐτοὺς καταγάγοι οἴκαδε (this might be πρὶν ἂν αὐτοὺς καταγάγῃ), *he promised them not to stop until he brought them back home.*

Here the dependent clause follows a secondary tense, and its verb (originally a *primary* tense of the indicative or a subjunctive) may either be changed to the same tense of the optative or retained in the original mood and tense. When the subjunctive becomes the optative, ἄν is dropped (ἐάν becoming εἰ).

4. τοὺς ἡγεμόνας ἔφη ἄξειν οὓς μετεπέμψαντο (this could *not* be οὓς μεταπέμψαιντο), *he said that he would bring the guides, whom they had sent for.*

5. ἔλεξεν ὅτι καλῶς ἂν ἔσχεν εἰ ἔπρᾱξαν τοῦτο (here no change is possible), *he said that it would have been well, if they had done this.*

6. ἔφη πρᾶξαι ἂν ὅ τι βούλοιντο (no change is possible), *he said that he would do whatever they might wish.*

Here the dependent clause follows a secondary tense, but its verb (originally a *secondary* tense of the indicative or an optative) retains its mood and tense.

663. When a complex sentence is indirectly quoted, after primary tenses the *dependent* verbs retain the same mood and tense. After past tenses, dependent primary tenses of the indicative and all dependent subjunctives may either be changed to the *same tense* of the optative, or retain their original mood and tense. When a subjunctive becomes optative, ἄν is dropped. But dependent *secondary* tenses of the indicative and dependent optatives remain unchanged.

664. VOCABULARY.

αἰσχῡ́νω (αἰσχυν), αἰσχυνῶ, ἤσχῡνα, ἤσχύνθην (cf. αἰσχρός), shame; αἰσχῡ́νομαι as pass. dep., feel ashamed, feel ashamed before.

ἄλλως (cf. ἄλλος), adv., otherwise.

ἀν-οίγω, ἀν-οίξω, ἀν-έῳξα, ἀν-έῳγα and ἀν-έῳχα, ἀν-έῳγμαι, ἀν-εῴχθην, open up, open.

δέω, δήσω, ἔδησα, δέδεκα, δέδεμαι, ἐδέθην, bind, fetter.

κατα-σχίζω, split open, burst open.

ὅσος, η, ον, rel. pron., how much or great, how many, as.

πώς, adv., in any way, at all (enclitic).

σωφροσύνη, ης, ἡ, self-control.

τιτρώσκω (τρο), τρώσω, ἔτρωσα, τέτρωμαι, ἐτρώθην, wound.

τοσοῦτος, η, ον, dem. pron., so much, so many.

τυγχάνω (τυχ), τεύξομαι, ἔτυχον, τετύχηκα and τέτευχα, hit, attain, get, happen.

φλυᾱρέω, φλυᾱρήσω, talk nonsense, talk bosh.

Give the original forms of all the indirect quotations and questions in the following exercise (665).

665. 1. ᾐσχύνθημεν καὶ θεοὺς καὶ ἀνθρώπους τὸν ἡγεμόνα δῆσαι. 2. ἠρώτων πολλοὶ εἰ ἡσθήσεται βασιλεύς, ἐὰν οἴκαδε πορευώμεθα. 3. Κῦρος γὰρ ἐνόμιζεν ὅσῳ¹ θᾶττον ἔλθοι, τοσούτῳ¹ ἀπαρασκευοτέρῳ βασιλεῖ μαχεῖσθαι.² 4. κατασχίσειν τε τὰς πύλᾱς ἔφασαν, εἰ μὴ ἑκόντες ἀνοίξειαν. 5. ἔνθα πολλὴν σωφροσύνην³ ἐδιδάχθησαν οἱ παῖδες. 6. Κῦρος ὑπέσχετο αὐτοῖς, εἰ καλῶς καταπράξειε τὸν στόλον, μὴ πρόσθεν παύσεσθαι πρὶν αὐτοὺς καταγάγοι οἴκαδε. 7. καὶ πολλοὶ ἐτρώθησαν τῶν πελταστῶν. 8. οὗτος δ᾽ εἶπεν ὅτι φλυᾱροίη ὅστις λέγοι ἄλλως πως σωτηρίᾱς⁴ ἂν τυχεῖν.⁵ 9. οἱ μὲν δὴ στρατηγοὶ οὕτω ληφθέντες ἤχθησαν πρὸς βασιλέα καὶ ἀποτμηθέντες τὰς κεφαλὰς⁶ ἐτελεύτησαν. 10. τοῦτο δὴ δεῖ λέγειν, πῶς ἂν πορευοίμεθά τε ὡς ἀσφαλέστατα⁷ καὶ εἰ μάχεσθαι δέοι ὡς κράτιστα μαχοίμεθα.⁸

666. 1. The soldiers were drawn up[9] and forced to proceed. 2. But the enemy flee in fear[10] that they will be encircled on both sides. 3. You will be forced to open the gates. 4. If these should be worsted, nobody would be left. 5. He promised him that if he would come he would make him a friend to Cyrus.

NOTES. — [1] ὅσῳ . . . τοσούτῳ, *by how much . . . by so much, i.e.* in English, *the . . . the,* datives of the *degree of difference* (867). — [2] Cyrus thought, ὅσῳ ἂν θᾶττον ἔλθω, τοσούτῳ ἀπαρασκευοτέρῳ βασιλεῖ μαχοῦμαι. — [3] The passive construction after a verb signifying *to teach* (838), in which the accusative of the thing taught is retained. — [4] The genitive follows verbs signifying *to attain* (845). — [5] In the original ἂν τύχοιμι. — [6] *Cf.* 616, 5. — [7] *as safely as possible.* For ὡς with superlatives, Latin *quam,* see the general vocabulary. — [8] ἄν belongs also with μαχοίμεθα. — [9] Use the aorist participle. — [10] Use the aorist participle of δείδω.

667.   "The King is coming!"

    καὶ ἤδη τε ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν καὶ πλησίον
ἦν ὁ σταθμὸς ἔνθα Κῦρος ἔμελλε καταλύειν, ἡνίκα ἀνὴρ
Πέρσης προφαίνεται ἐλαύνων ἀνὰ κράτος καὶ εὐθὺς πᾶσιν
οἷς ἐνετύγχανεν ἐβόα καὶ βαρβαρικῶς καὶ Ἑλληνικῶς ὅτι
5 βασιλεὺς σὺν στρατεύματι πολλῷ προσέρχεται ὡς (as if)
εἰς μάχην παρεσκευασμένος. ἔνθα δὴ πολὺς τάραχος
ἐγένετο· αὐτίκα γὰρ ἐδόκουν οἱ Ἕλληνες καὶ πάντες δὲ
ἀτάκτοις σφίσιν ἐπιπεσεῖσθαι.

NOTES. — 1. ἦν . . . πλήθουσαν: *it was about the time of full market.* — 2. σταθμός: *halting place.* — 3. προφαίνεται . . . κράτος: *comes in sight riding at full speed.* — 7. καὶ πάντες δέ: *and* (δέ) *all alike, i.e.* Persians as well as Greeks. — 8. ἐπιπεσεῖσθαι: their thought was, ἀτάκτοις (*in disorder*) ἡμῖν ἐπιπεσεῖται βασιλεύς. See ἐπι-πίπτω.

LESSON LXXII.

Second Passive System.

668. The second passive system includes the second aorist and second future passive.

669. Conjugate the second passive system of **στέλλω,** *send,* in 780.

Give its synopsis, first in the second aorist, then in the second future.

670. The stem of the second aorist passive is formed by adding the tense suffix ε to the verb stem, as στέλλω (στελ), *send,* second aorist passive stem σταλε (672). This is lengthened to **η** in the indicative, and in the other moods before a single consonant in the ending. As a secondary tense the second aorist passive has augment in the indicative. It follows the inflection of the first aorist passive (770).

671. The second future passive adds σ°/ε to the stem of the second aorist passive, with the tense suffix ε lengthened to **η.** It follows the inflection of the first future passive (770).

672. An ε in the verb stem generally becomes **α.**

673.   VOCABULARY.

βιαίως (cf. βιάζομαι), adv., *violently.*

ἐξακόσιοι, αι, α, *600.*

κονιορτός, οῦ, ὁ, *cloud of dust.*

λευκός, ή, όν, *white.*

μέχρι, conj., *until.*

νεφέλη, ης, ἡ, *cloud.*

νεκρός, οῦ, ὁ, *corpse;* οἱ νεκροί, *the dead.*

παλτόν, οῦ, τό, *spear, javelin.*

τροπή, ῆς, ἡ (cf. τρέπω), *rout, defeat.*

ὑστεραῖος, ᾱ, ον (cf. ὕστερος), *later, following.*

674. 1. Κῦρος ἐπλήγη παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν βιαίως. 2. εἰ πορευθείη ἐπὶ τοὺς στρατιώτᾱς, ἐκπλαγεῖεν ἄν. 3. ἐφάνη

κονιορτὸς ὥσπερ νεφέλη λευκή.   4. οὐ πολλῷ¹ δὲ ὕστερον
οἱ λοχᾱγοὶ κατακοπήσονται.   5. ὅμως δὲ λέξον, ἔφη, ἐκ
τίνος² ἐπλήγης.   6. ἐνταῦθα οἱ πελτασταὶ ἐδίωκον μέχρι τὸ
δεξιὸν αὖ διεσπάρη.   7. τῇ δὲ ὑστεραίᾳ³ οὐκ ἐφάνησαν οἱ
πολέμιοι, οὐδὲ τῇ τρίτῃ.   8. ὡς (when) ἡ τροπὴ ἐγένετο,
διεσπάρησαν καὶ οἱ Κύρου ἐξακόσιοι⁴ εἰς τὸ διώκειν⁵ ὁρμή-
σαντες.   9. ἔφασαν τοὺς λόχους κατακοπῆναι ὑπὸ τῶν
Κιλίκων.   10. εἰ μέντοι πλείους συλλεγεῖεν, κινδῡνεύσειεν
ἂν διαφθαρῆναι πολὺ τοῦ στρατεύματος.   11. καὶ ἐβου-
λευόμεθα σὺν τούτοις πῶς ἂν ταφείησαν οἱ τῶν Ἑλλήνων
νεκροί.

675. 1. The general appeared again with a thousand horse-
men. 2. The barbarians turned⁶ and fled. 3. The soldiers
came together⁶ and deliberated. 4. Show yourselves⁷ the
bravest of the captains. 5. If the army should be scattered,
it would be destroyed by the enemy.

NOTES. — ¹ Dative of the *degree of difference* (867) with ὕστερον, literally
later by much, i.e. much later. — ² *in consequence of what, i.e. why.* — ³ Dative
of the *time when* (870). — ⁴ Cyrus's bodyguard of 600 horse. — ⁵ *in pursuit.*
The infinitive with the article may, like a noun, depend on a preposition.
— ⁶ Use the aorist passive participle. — ⁷ Use the aorist passive.

No. 50. ἅρμα.

676.   The Order of Battle.

καὶ Κῦρος ἐθωρακίζετο καὶ τὰ παλτὰ εἰς τὰς χεῖρας
ἔλαβε, τοῖς τε ἄλλοις πᾶσι παρήγγελλεν ἐξοπλίζεσθαι.
ἔνθα δὴ σὺν πολλῇ σπουδῇ ἐτάττοντο, Κλέαρχος μὲν τὸ
δεξιὸν τοῦ Ἑλληνικοῦ ἔχων πρὸς τῷ Εὐφράτῃ ποταμῷ,
5 Πρόξενος δὲ ἐχόμενος, οἱ δ' ἄλλοι μετὰ τοῦτον, Μένων δὲ
καὶ τὸ στράτευμα τὸ εὐώνυμον κέρας ἔσχε τοῦ Ἑλληνικοῦ.
τοῦ δὲ βαρβαρικοῦ ἱππεῖς μὲν Παφλαγόνες εἰς χιλίους
παρὰ Κλέαρχον ἐτάχθησαν ἐν τῷ δεξιῷ καὶ τὸ Ἑλληνικὸν
πελταστικόν, ἐν δὲ τῷ εὐωνύμῳ Ἀριαῖός τε ὁ Κύρου
10 ὕπαρχος καὶ τὸ ἄλλο βαρβαρικόν.

NOTES. — For the disposition of the forces, see No. 56. — 5. **ἐχόμενος** :
being next. — 7. **εἰς χιλίους** : *sc.* ἱππέᾱς, *to the number of a thousand* (*horse*). —
9. **τῷ εὐωνύμῳ** : of the entire Greek force.

LESSON LXXIII.

Verbal Adjectives.

677. Verbal adjectives are derived from verb stems, and are
generally equivalent to passive participles in meaning.   They
are formed by adding **τός** and **τέος** to the verb stem, which
generally has the same form as in the first aorist passive (with
the change of φ and χ to π and κ before τ).

Thus, ποιέω, *do*, ἐποιήθην, ποιητέος ; πορεύομαι, *advance*, ἐπορεύθην,
πορευτέος ; πέμπω, *send*, ἐπέμφθην, πεμπτέος ; θαυμάζω, *wonder at*, ἐθαυ-
μάσθην, θαυμαστός ; πείθω, *persuade*, mid. *obey*, ἐπείσθην, πειστέος ; διώκω,
pursue, ἐδιώχθην, διωκτέος.

678. The verbal in τέος has both a *personal* and an *impersonal* construction, of which the latter is more common.

679. 1. ἄλλαι νῆες μεταπεμπτέαι εἰσίν, *other ships must be sent for.*

2. ὠφελητέᾱ σοι ἡ πόλις ἐστίν, *the city must be succored by you.*

680. In the personal construction, the verbal in τέος is passive in sense, and expresses *necessity*, like the Latin participle in *dus*, agreeing with the subject. The *agent* is expressed by the dative.

681. 1. ταῦτα ἡμῖν ποιητέον ἐστίν, *we must do this.*

2. πεμπτέα ἐστὶ τὸν στρατηγὸν ὑμῖν, *you must send your general.*

3. τὴν πορείᾱν ὑμῖν πεζῇ ποιητέον, *you must make the journey on foot.*

682. In the impersonal construction the verbal is in the neuter of the nominative singular (sometimes plural), with ἐστί expressed or understood. The expression is equivalent to δεῖ, *one must,* with the infinitive. It is practically active in sense, and allows transitive verbals to have an object like their verbs. The *agent* is expressed by the dative.

683. 1. ἔλαθε τὸν Κῦρον ἀπελθών, *he went off unnoticed by Cyrus.*

2. ἔτυχε γὰρ τάξις αὐτῷ ἑπομένη τῶν ὁπλῑτῶν, *as it chanced, a division of heavy-armed men was following him.*

3. φθάσει τοὺς ἄλλους Κῦρος ἀφικόμενος, *Cyrus will arrive before the others.*

684. The participle with **λανθάνω,** *escape the notice of,* **τυγχάνω,** *happen,* and **φθάνω,** *anticipate,* contains the leading idea of the expression and is usually translated by a verb. The aorist participle here coincides in time with the verb (unless this expresses duration) and does not denote past time in itself.

685.   VOCABULARY.

ἀπο-πορεύομαι, *go off, depart.*

ζηλωτός, ή, όν (*cf.* ζηλόω, *envy*), *to be envied, enviable.*

θαυμαστός, ή, όν (*cf.* θαυμάζω), *wonderful, surprising.*

ἱππικός, ή, όν (*cf.* ἵππος), *for cavalry ;* τὸ ἱππικόν, *the cavalry, the horse.*

λανθάνω (λαθ), λήσω, ἔλαθον, λέληθα, λέλησμαι, *escape the notice of ;* mid., *forget.*

μανθάνω (μαθ), μαθήσομαι, ἔμαθον, μεμάθηκα, *learn,* esp. by inquiry, *find out, hear of.*

μετάπεμπτος, ον (*cf.* μεταπέμπομαι), *sent for.*

μή-ποτε (μή + ποτέ), *never.*

ξίφος, ους, τό, *sword.*   No. 40.

φθάνω (φθα), φθήσομαι and φθάσω, ἔφθην and ἔφθασα, *anticipate, outstrip.*

686. 1. εἰς καλὸν[1] ἥκετε· ἐπὶ γὰρ τὸ ὄρος πορευτέον. 2. σκεπτέον μοι δοκεῖ εἶναι ὅπως τὰ ὅπλα ἕξομεν, τὰ δόρατα καὶ τὰ ξίφη καὶ τὰ ἄλλα. 3. καὶ οἱ ἱππεῖς ἐλάνθανον αὐτοὺς ἐπὶ τῷ γηλόφῳ γενόμενοι.[2] 4. οὐκ ἂν εἴη θαυμαστὸν εἰ τύχοιεν ταῦτα μαθόντες. 5. οὗτος δὲ τεταγμένος ἐτύγχανεν ἐπὶ τῷ εὐωνύμῳ τοῦ ἱππικοῦ[3] ἄρχων. 6. ὦ ἄνδρες στρατιῶται, τὴν πορείᾶν πεζῇ ποιητέον· οὐ γάρ ἐστι πλοῖα. 7. παρῆν δὲ καὶ Λακεδαιμόνιός τις ἐπὶ τῶν νεῶν, μετάπεμπτος ὑπὸ Κύρου. 8. καὶ φθάνουσιν ἐπὶ τῷ ἄκρῳ γενόμενοι τοὺς πολεμίους. 9. ἡμῖν δὲ πάντα ποιητέα ὡς μήποτ' ἐπὶ τοῖς βαρβάροις γενώμεθα. 10. ἐγὼ δὲ ὑμῶν τὸν οἴκαδε βουλόμενον ἀποπορεύεσθαι τοῖς οἴκοι ζηλωτὸν[4] ποιήσω.

687. 1. This it seems to me must be considered. 2. On the following day the generals resolved that they must advance through the mountains. 3. For there are many[5] (reasons) why[6] I must not do this. 4. It would not be surprising if Cyrus should think that he must pursue these men. 5. He says that the generals ought to consider what the hindrance is.

NOTES. — [1] Sc. χρόνον, *in the nick of time.* — [2] Note αὐτούς, they got there *before they knew it.* — [3] With ἄρχων, *as commander of the horse.* — [4] *an object of envy to his (friends) at home.* For the two accusatives after ποιέω, see 840. — [5] Use the neuter plural. — [6] δι' ἅ.

688. Armor of Cyrus and his Bodyguard. The Enemy appear.

Κῦρος δὲ καὶ οἱ ἱππεῖς τούτου ὅσον ἑξακόσιοι ὡπλισμέ-
νοι ἦσαν θώραξι μὲν αὐτοὶ καὶ παραμηριδίοις καὶ κράνεσι
πάντες πλὴν Κύρου· Κῦρος δὲ ψιλὴν εἶχε τὴν κεφαλὴν ἐν
τῇ μάχῃ. οἱ δ' ἵπποι πάντες οἱ μετὰ Κύρου εἶχον καὶ
5 προμετωπίδια καὶ προστερνίδια· εἶχον δὲ καὶ μαχαίρᾱς
οἱ ἱππεῖς Ἑλληνικάς. καὶ ἤδη τε ἦν μέσον ἡμέρᾱς καὶ
οὔπω καταφανεῖς ἦσαν οἱ πολέμιοι· ἡνίκα δὲ δείλη
ἐγίγνετο, ἐφάνη κονιορτὸς ὥσπερ νεφέλη λευκή, χρόνῳ
δὲ πολλῷ ὕστερον ὥσπερ μελανίᾱ τις ἐν τῷ πεδίῳ
ἐπὶ πολύ.

NOTES. — 1. ὅσον: neuter as adverb, with numerals, *about.* — 3. πλὴν Κύρου: the exception extends only to κράνεσι. — 7. ἡνίκα ... ἐγίγνετο: *when it began to be* (literally, *was becoming*) *afternoon.* — 8. ἐφάνη: *there was seen.* — χρόνῳ ... ἐπὶ πολύ: *considerably later* (the cloud of dust appeared) *just like a sort of blackness in the plain for a great distance* (ἐπὶ πολύ). For χρόνῳ, a dative of the *degree of difference*, see 867.

LESSON LXXIV.

Regular Verbs in MI, τίθημι.

689. Some verbs form the present and second aorist systems by adding the personal endings directly to the verb stem, omitting the tense suffix °/ₑ (135, 606), except in the subjunctive. In these verbs, therefore, the present and second aorist stems are the simple verb stem, which is, however, often reduplicated with ι in the present system.

690. Compare the following forms of the present indicative active of τί-θη-μι (θε), *place, put,* with those of λύω (λῡ), *loose :*

	SINGULAR.	DUAL.	PLURAL.	SINGULAR.	DUAL.	PLURAL.
1	τί-θη-μι		τί-θε-μεν	λύω		λύο-μεν
2	τί-θη-ς	τί-θε-τον	τί-θε-τε	λύεις	λύε-τον	λύε-τε
3	τί-θη-σι	τί-θε-τον	τι-θέ-ᾱσι	λύει	λύε-τον	λύουσι

691. Such verbs are called **Verbs in μι,** because they retain the personal ending **μι** in the first person singular of the present indicative active.   Verbs like **λύω** are called **Verbs in ω.**

692. Learn the conjugation of the present and second aorist systems of **τίθημι** (θε), *place, put,* in 784 and 788.

693. Review the endings and suffixes given in 136, 145, 175, 401, 413, 455, 484, 493.

Read and note the following in explanation of the paradigms :

694. 1. In the singular of the present indicative active, and in the first person of the singular of the imperfect indicative active, θε is lengthened to θη, and the third person plural of the present ends in ᾱσι (for νσι).

2. In the imperfect indicative active, ἐτίθεις, ἐτίθει are formed as if from a contract verb τιθέω. *Cf.* ἐποίεις and ἐποίει (782). Similarly τίθει in the present imperative active. *Cf.* ποίει (782).

3. The subjunctive has the long vowel ω or η, as in verbs in ω (315, 332), but this contracts with the final vowel of the verb stem (340).

4. The optative has the mood suffix (362, 379), ι or ιη, but the latter only before active endings. The mood suffix is added directly to the verb stem and contracts with it. In these forms the accent cannot pass beyond the mood suffix.

5. The singular of the second aorist indicative active does not occur. It is supplied by the first aorist forms ἔθηκα, ἔθηκας, ἔθηκε, formed with the tense suffix κα for σα (148).

6. In the second aorist imperative active, θές is irregular, and the infinitive θεῖναι (for θε-εναι) is formed with the ending εναι (for simple ναι).

7. The active participles τιθείς and θείς are declined like λυθείς (754).

695.   VOCABULARY.

αἰχμάλωτος, ον, *captured;* as noun, οἱ αἰχμάλωτοι, *prisoners of war, captives.*

ἀνα-τίθημι, *set up, dedicate.*

αὐτοῦ (*cf.* αὐτός), adv., *in the very place, here, there.*

βακτηρίᾱ, ᾶς, ἡ, *staff, cane, walking-stick.* Nos. 1, 30, 36.

γέρρον, ου, τό, *wicker shield.*

γόνυ, γόνατος, τό, *knee.*

δέρμα, ατος, τό, *hide, skin.*

δια-τίθημι, *set out in order, arrange, dispose.*

ἐν-τίθημι, *put* or *place in,* of fear, *instil in, inspire in.*

ἐπι-τίθημι, *impose on, inflict;* mid., *put oneself on, attack.*

συν-τίθημι, *put* or *place together;* mid., *contract, agree on, make an agreement.*

τίθημι (θε), θήσω, ἔθηκα, τέθεικα, τέθειμαι, ἐτέθην, *put, set, place.*

696. 1. ἐπιθήσεται ἡμῖν.[1] 2. τούτους δὲ ἐκέλευε θέσθαι τὰ ὅπλα[2] περὶ τὴν αὐτοῦ σκηνήν. 3. τὴν δίκην χρῄζω ἐπιθεῖναι αὐτῷ. 4. καὶ κελεύουσι φυλάττεσθαι μὴ ὑμῖν

ἐπιθῶνται τῆς νυκτὸς οἱ βάρβαροι.   5. καὶ πάσᾱς τὰς
οἰκίᾱς ἔκᾱεν, ἵνα φόβον ἐνθείη τοῖς ἄλλοις.¹   6. οὐκέτι
ἐπετίθεντο οἱ πολέμιοι τοῖς Ἕλλησι, δεδοικότες μὴ ἀποτμη-
θείησαν.   7. τοὺς μὲν ὁπλίτᾱς αὐτοῦ³ ἐκέλευσε μεῖναι, τὰς
ἀσπίδας πρὸς τὰ γόνατα θέντας.   8. ἐνταῦθα ἀνετίθεσαν οἱ
στρατιῶται δερμάτων πλῆθος καὶ βακτηρίᾱς καὶ τὰ αἰχμά-
λωτα γέρρα.⁴   9. καὶ συντιθέμεθα τὴν νύκτα,⁵ ἢν λάβωμεν
τὸ ἄκρον, τὸ χωρίον φυλάττειν.   10. πάντας οὕτω διατιθεὶς
ἀπεπέμπετο ὥστε αὐτῷ μᾶλλον φίλους εἶναι ἢ βασιλεῖ.

697. 1. The hoplites grounded arms.   2. They feared that
the Greeks would attack them during the night.   3. He will
inflict punishment on them.   4. I fear that he may take⁶ and
inflict punishment on me.   5. And when they had made this
agreement,⁷ they proceeded to the river.

NOTES. — ¹ The dative follows many verbs compounded with ἐν, σύν,
or ἐπί (865). — ² For the phrase θέσθαι τὰ ὅπλα, see the general vocabulary.
— ³ The adverb. — ⁴ They dedicated these in thanksgiving for their safe
arrival at the sea. — ⁵ An accusative of *extent of time* (836).   Construe
with φυλάττειν. — ⁶ Use the aorist participle. — ⁷ ταῦτα (*cognate* accusative)
συνθέμενοι.

698. The Enemy's Array. Cyrus wishes to attack the Persian Centre.

ὅτε δὲ ἐγγύτερον ἐγίγνοντο, τάχα δὴ καὶ χαλκός τις
ἤστραπτε καὶ αἱ λόγχαι καὶ αἱ τάξεις καταφανεῖς ἐγί-
γνοντο· καὶ ἦσαν ἱππεῖς μὲν ἐπὶ τοῦ εὐωνύμου τῶν
πολεμίων, ἐχόμενοι δὲ γερροφόροι, ἐχόμενοι δὲ ὁπλῖται
5 σὺν ξυλίναις ἀσπίσι.   πάντες δὲ οὗτοι κατὰ ἔθνη ἐν
πλαισίῳ πλήρει ἀνθρώπων ἐπορεύοντο.   πρὸ δὲ αὐτῶν ἦν

ἅρματα τὰ δρεπανηφόρα καλούμενα. καὶ ἐν τούτῳ Κῦρος
παρελαύνων αὐτὸς σὺν Πίγρητι τῷ ἑρμηνεῖ καὶ ἄλλοις
τρισὶν ἢ τέτταρσι τῷ Κλεάρχῳ ἐβόα ἄγειν τὸ στράτευμα
10 κατὰ μέσον τὸ τῶν πολεμίων, ὅτι ἐκεῖ βασιλεὺς ἦν. "Κᾶν
τοῦτ'," ἔφη, "νῑκῶμεν, πάνθ' ἡμῖν πεποίηται."

NOTES. — 1. **χαλκός τις ἤστραπτε**: *here and there* (**τὶς**) *their bronze armor
began to flash.* — 5. **κατὰ ἔθνη**: *nation by nation.* — **ἐν πλαισίῳ πλήρει ἀνθρώ-
πων**: *in a solid square.* — 7. **καλούμενα**: *so called.* — 10. **κᾶν**: *i.e.* **καὶ ἐάν.**—
11. **πεποίηται**: although a perfect in form, this refers vividly to the future,
— *our whole work is (will have been) done.*   Cf. 317.

No. 51.   στέφανος.

LESSON LXXV.

Regular Verbs in MI, δίδωμι.

699. Learn the conjugation of the present and second aorist systems of δίδωμι (δο), *give*, in 785 and 789.

Read and note the following in explanation of the paradigms :

700. 1. In the singular of the present indicative active δο is lengthened to δω, and the third person plural ends in ᾶσι.

2. In the imperfect indicative active, ἐδίδουν, ἐδίδους, ἐδίδου are formed as if from a contract verb διδόω. *Cf.* ἐδήλουν, ἐδήλους, ἐδήλου (783). Similarly δίδου in the present imperative active. *Cf.* δήλου (783).

3. For the formation of the subjunctive and optative, see 694, 3 and 4, but here in the subjunctive ο + η = ῳ, not οι (340).

4. The singular of the second aorist indicative active does not occur. It is supplied by the first aorist forms ἔδωκα, ἔδωκας, ἔδωκε, formed with the tense suffix κα for σα (148).

5. In the second aorist imperative active, δός is irregular, and the infinitive δοῦναι (for δο-εναι) is formed with the ending εναι.

6. The active participles διδούς and δούς are declined like λύων (754), except in the nominative singular masculine.

701. **VOCABULARY.**

ἁλίσκομαι (ἁλ, ἁλο), ἁλώσομαι, ἑάλων and ἥλων, ἑάλωκα and ἥλωκα, *be captured, taken,* or *caught,* used as pass. to αἱρέω.

ἀνα-γιγνώσκω, *know again, recognize, read.*

γιγνώσκω (γνο), γνώσομαι, ἔγνων, ἔγνωκα, ἔγνωσμαι, ἐγνώσθην, *know, perceive, feel, experience, learn, think.*

δίδωμι (δο), δώσω, ἔδωκα, δέδωκα, δέδομαι, ἐδόθην, *give, grant, permit.*

κάνδυς, υος, ὁ, caftan, a long outer garment. No. 11.

παρα-δίδωμι, pass along, give up, surrender, hand over.

πλέω (πλυ), πλεύσομαι and πλευσοῦμαι, ἔπλευσα, πέπλευκα, πέπλευσμαι, sail.

προ-δίδωμι, give over, betray, abandon.

στέφανος, ου, ὁ, crown, wreath, chaplet, garland. No. 51.

χρῡσο-χάλῑνος, ον (χρῡσός, gold + χάλῑνος, bridle), with gold mounted bridle.

a. Although not μι-verbs, ἁλίσκομαι and γιγνώσκω have second aorists of the μι-form.

702. 1. ἀναγνοὺς τὴν ἐπιστολὴν ἔδωκε Σωκράτει. 2. Κῦρος δὲ ἐκείνῳ δίδωσιν ἵππον χρυσοχάλινον καὶ κάνδυν. 3. ἠρώτων ἐκεῖνοι εἰ δοῖεν ἂν τούτων τὰ πιστά. 4. ὑμῶν δὲ τῶν Ἑλλήνων καὶ στέφανον ἑκάστῳ χρῡσοῦν δώσω. 5. καὶ δοῦναι καὶ λαβεῖν πιστὰ ἐθέλομεν. 6. καὶ εὐθὺς ἔγνωσαν πάντες ὅτι ἐγγύς ἐστι βασιλεύς. 7. ἐπὶ Σάρδεις οὐ πλευσοῦνται, ἐὰν μὴ αὐτοῖς χρήματα διδῶτε. 8. καὶ ἵπποι ἥλωσαν εἰς¹ εἴκοσι, καὶ ἡ σκηνὴ ἑάλω. 9. τῇ γὰρ πρόσθεν ἡμέρᾳ πέμπων βασιλεὺς τὰ ὅπλα παραδιδόναι ἐκέλευεν. 10. ἀνάγκη² δή μοι ὑμᾶς προδόντα³ τῇ Κύρου φιλίᾳ χρῆσθαι. 11. πρὸς δὲ βασιλέα πέμπων ἠξίου Κῦρος ἀδελφὸς ὢν⁴ αὐτοῦ δοθῆναι οἷ⁵ ταύτᾱς τὰ̀ς πόλεις μᾶλλον ἢ Τισσαφέρνην ἄρχειν αὐτῶν.

703. 1. And he did not give them pay. 2. They bound the guide and handed (him) over to them. 3. She is said to have given much money to Cyrus. 4. They gave the Greeks barbarian spears. 5. He took the letter and gave it to Cyrus.

NOTES. — ¹ about. — ² Sc. ἐστί. — ³ In agreement with μέ, the unexpressed subject of χρῆσθαι. — ⁴ The participle expresses cause (495, 2). — ⁵ See 437 and 435.

704.   Clearchus refuses.   The Barbarians' Advance.

ὁρῶν δὲ ὁ Κλέαρχος τὸ μέσον στῖφος καὶ ἀκούων
βασιλέα τοῦ εὐωνύμου ἔξω ὄντα οὐκ ἤθελεν ἀποσπάσαι
ἀπὸ τοῦ ποταμοῦ τὸ δεξιὸν κέρας, φοβούμενος μὴ κυκλω-
θείη ἑκατέρωθεν, τῷ δὲ Κύρῳ ἀπεκρίνατο ὅτι αὐτῷ μέλοι
5 ὅπως καλῶς ἔχοι. καὶ ἐν τούτῳ τῷ καιρῷ βασιλεὺς μὲν
σὺν τῷ ἑαυτοῦ στρατεύματι προσέρχεται, τὸ δὲ Ἑλληνικὸν
ἔτι ἐν τῷ αὐτῷ μένον συντάττεται. καὶ ὁ Κῦρος παρελαύ-
νων οὐ πάνυ πρὸς αὐτῷ τῷ στρατεύματι κατεθεᾶτο ἑκατέ-
ρωσε ἀποβλέπων εἴς τε τοὺς πολεμίους καὶ τοὺς φίλους.

NOTES. — 1. **ὁρῶν . . . στῖφος**: *although he saw the compact body at the centre,* *i.e.* the 6000 cavalry mentioned in 618. — **ἀκούων**: also concessive. — 2. **βασιλέα . . . ὄντα**: what he heard was, βασιλεὺς τοῦ εὐωνύμου (*i.e.* τοῦ Κύρου) ἔξω ἐστί. See 628. See also No. 56. — 4. **ὅτι . . . ἔχοι**: his answer was, ἐμοὶ μέλει ὅπως καλῶς ἔχῃ, *it is my concern that all shall be well.* See 663. — 8. **οὐ πάνυ πρός**: *not very near.* — **κατεθεᾶτο**: *was surveying* the field. — **ἑκατέρωσε ἀποβλέπων**: *looking in each direction.*

·LESSON LXXVI.

Regular Verbs in MI, ἵστημι.

705. Learn the conjugation of the present and second aorist systems of ἵστημι (στα), *set, make stand,* in 786 and 790.

Read and note the following in explanation of the paradigms :

706. 1. ἵστημι is for σι-στη-μι, the rough breathing representing the σ of the reduplicating syllable.

2. In the singular of the present and imperfect indicative active, στα is lengthened to στη, and the third person plural of the present ends in ᾱσι, ἱστᾶσι arising from ἱστα-ᾱσι by contraction.

3. In the imperfect indicative, ῑ is due to the augment (67, 2).

4. For the formation of the subjunctive and optative, see 694, 3 and 4, but here in the subjunctive α + η = η, not ᾱ, and α + ῃ = ῃ, not ᾳ (340).

5. In the present imperative active, ἵστη (for ἱστα-θι) rejects θι and lengthens the final vowel of the stem.

6. The lengthening of στα to στη occurs also in the second aorist indicative, imperative (except in στάντων), and infinitive active.

7. The active participles ἱστάς and στάς are declined like λύσᾱς (754).

8. The second aorist middle of ἵστημι does not occur.

707.   VOCABULARY.

ἀν-ίστημι, *make rise, rouse;* mid., with perf. and second aor. act., intrans., *stand up, rise.*

ἀπο-διδράσκω, *run away, escape by stealth.*

βαίνω (βα), βήσομαι, ἔβην, βέβηκα, βέβαμαι, ἐβάθην, *go, walk.*

δια-βαίνω, *go over, cross.*

διδράσκω (δρα), δράσομαι, ἔδρᾱν, δέδρᾱκα, *run.*

δύναμαι (δυνα), δυνήσομαι, δεδύνημαι, ἐδυνήθην, *be able* or *capable, be worth, amount to, signify.*

ἐμ-πίμπλημι, *fill full, satisfy.*

ἐπίσταμαι (ἐπιστα), ἐπιστήσομαι, ἠπιστήθην, *understand, know.*

ἐφ-ίστημι, *bring to a stand, make halt;* mid., with perf. and second aor. act., intrans., *halt, stop.*

ἵστημι (στα), στήσω, ἔστησα and ἔστην, ἕστηκα, ἕσταμαι, ἐστάθην, *set, make stand, make halt;* mid. (except first aor.), with perf. and second aor. act., intrans., *stand, stop, halt.*

καθ-ίστημι, *set down* or *in order, settle, station, establish;* mid., with perf. and second aor. act., intrans., *take one's place.*

πίμπλημι (πλα), πλήσω, ἔπλησα, πέπληκα, πέπλημαι and πέπλησμαι, ἐπλήσθην, *fill.*

a. Although not μι-verbs, βαίνω, διδράσκω, and φθάνω (685) have second aorists of the μι-form.

708. 1. οἱ δὲ πολέμιοι οὐκέτι ἔστησαν. 2. ἐάν τι δύνω-
μαι,¹ ταῦτα ποιήσω. 3. τὰς διφθέρᾱς ἐπίμπλασαν χῑλοῦ.²
4. ἀνέστησαν οἱ Ἕλληνες καὶ εἶπον ὅτι ὥρᾱ τοὺς φύλακας
καθιστάναι. 5. καὶ ἔφθησαν³ ἐπὶ τῷ ἄκρῳ γενόμενοι τοὺς
ἱππέᾱς. 6. ἀλλὰ καὶ τοῦτό γε ἐπίστασθε. 7. τοῦτο⁴
δὲ οὐδὲν ἄλλο δύναται ἢ⁵ ἀποδρᾶναι. 8. ἐβουλεύοντο ὅπως
ἂν κάλλιστα διαβαῖεν. 9. ἐπέστη ὁ Κῦρος σὺν τοῖς περὶ
αὐτὸν ἀρίστοις. 10. ὁ δὲ ἐμπιμπλὰς ἁπάντων τὴν γνώμην⁶
ἀπέπεμπεν. 11. στάντων οἱ ὁπλῖται. 12. ἀλλ' εὖ ἐπιστά-
σθων ὅτι οὐκ ἀποδεδρᾱκᾱσιν.

709. 1. He halted his men. 2. Xenophon rose and spoke
as follows. 3. He was not able to rise. 4. They made those
who had been wounded⁷ rise. 5. You must cross the river,
that the enemy may not escape by stealth.

NOTES. — ¹ With recessive accent, disregarding the contraction. *Cf.*
ἱστῶμαι (786), and see 694, 3. — ² Verbs signifying *to fill* take the accusa-
tive of the thing filled and the genitive of material (848). — ³ Second
aorist of the μι-form. — ⁴ Refers to a course of conduct. — ⁵ *than.* — ⁶ *satis-
fying the desire.* — ⁷ Use the perfect participle with the article (487, 3 and 4).

710.   The Sacrifices are favorable.   The Watchword.

ἰδὼν δὲ Κῦρον ἀπὸ τοῦ Ἑλληνικοῦ Ξενοφῶν Ἀθηναῖος,
πελάσᾱς ὥστε συναντῆσαι ἤρετο εἴ τι παραγγέλλοι· ὁ δ'
ἐπιστήσᾱς εἶπε καὶ λέγειν ἐκέλευσε πᾶσιν ὅτι τὰ ἱερὰ
καλά.   ταῦτα δὲ τῷ Ξενοφῶντι λέγων θορύβου ἤκουσε,
5 καὶ ἤρετο τίς ὁ θόρυβος εἴη. ὁ δὲ Κλέαρχος εἶπεν ὅτι
σύνθημα παρέρχεται δεύτερον ἤδη διὰ τῶν τάξεων. καὶ
ἐθαύμασε Κῦρος τίς παραγγέλλει, καὶ ἤρετο ὅ τι εἴη τὸ

σύνθημα. ὁ δ᾽ ἀπεκρίνατο, "Ζεὺς Σωτὴρ καὶ Νίκη." ὁ δὲ
Κῦρος ἀκούσας, "Ἀλλὰ δέχομαί τε," ἔφη, " καὶ τοῦτο
10 ἔστω."   ταῦτα δ᾽ εἰπὼν εἰς τὴν αὑτοῦ χώραν ἀπήλαυνεν.

NOTES. — 2. **πελάσᾱς** κτλ.: *approaching him so as to meet him.* — **ἤρετο** :
the second aorist of poetic ἔρομαι, equivalent to ἐρωτάω. — **εἴ τι παραγγέλλοι** :
whether he had any commands.   For the optative in the indirect question,
see 569. — 3. **ἐπιστήσᾱς** : first aorist, transitive, *pulling up (his horse).* —
4. **θορύβου** : for the genitive following ἀκούω, see 846. — 5. **Κλέαρχος εἶπεν** :
he had ridden up in the meantime. — 7. **τίς παραγγέλλει** : *who was giving it
out,* without his approval.

No. 52.   Ζεὺς Σωτὴρ καὶ Νίκη.

LESSON LXXVII.

Regular Verbs in MI, δείκνῡμι.

711. Learn the conjugation of the present system of δεί-κνῡμι (δεικ), *show*, in 787, and the second aorist system of δῡ́ω (δυ), *enter*, in 791. No second aorist of δείκνῡμι occurs.

Read and note the following in explanation of the paradigms:

712. 1. In the present system of δείκνῡμι, the personal endings are not added directly to the verb stem δεικ (689), but to the verb stem increased by νυ.

2. In the singular of the present and imperfect indicative active, δεικνυ is lengthened to δεικνῡ, and the third person plural of the present ends in ᾱσι.

3. The subjunctive and optative are formed as in verbs in ω.

4. In the present imperative active, δείκνῡ (for δεικνυ-θι) rejects θι and lengthens the final vowel of the stem.

5. In the second aorist active, δυ is lengthened to δῡ in the indicative, imperative (except in δύντων), and infinitive.

6. The active participles δεικνῡ́ς and δῡ́ς are declined δεικνῡ́ς, δεικνῦσα, δεικνῡ́ν, genitive δεικνῡ́ντος, δεικνῡ́σης, δεικνῡ́ντος, *etc.*

7. The second aorist middle does not occur.

713.　　　　　　VOCABULARY.

ἀπο-δείκνῡμι, *set forth, make known, appoint;* mid., *set forth one's views, declare.*

ἀπ-όλλῡμι, *destroy utterly, kill;* mid., with second perf. act., *perish, die, be lost.*

Ἀπόλλων, ωνος, ὁ, *Apollo.* No. 53.

δείκνῡμι (δεικ), δείξω, ἔδειξα, δέδειχα, δέδειγμαι, ἐδείχθην, *show.*

δέρω, δερῶ, ἔδειρα, δέδαρμαι, ἐδάρην (*cf.* δέρμα), *flay.*

δῡ́ω, δῡ́σω, ἔδῡσα and ἔδῡν, δέδῡκα, δέδῡμαι, ἐδύθην, *make enter;* intrans., *enter.*

ἐκ-δέρω, *strip off the skin, flay.*

ἐν-δύω, *put on, clothe oneself in.*

ἐπι-δείκνῡμι, *show to, exhibit, disclose.*

εὑρίσκω (εὑρ), εὑρήσω, ηὗρον, ηὕρηκα, ηὕρημαι, ηὑρέθην, *find, discover;* mid., *find for oneself, procure.*

κρεμάννῡμι (κρεμα), κρεμῶ, ἐκρέμασα, ἐκρεμάσθην, *hang up.*

Μαρσύᾱς, ου, ὁ, *Marsyas*, a satyr. No. 53.

ὄλλῡμι (ὀλ), ὀλῶ, ὤλεσα and ὠλόμην, ὀλώλεκα and ὄλωλα, *destroy, lose;* mid., with second perf. act., *perish.*

ὄμνῡμι (ὀμ, ὁμο), ὀμοῦμαι, ὤμοσα, ὀμώμο-κα, ὀμώμομαι and ὀμώμοσμαι, ὠμόθην and ὠμόσθην, *swear, take an oath.*

No. 53. Apollo flays Marsyas.

714. 1. ἀποδείκνυνται οἱ μάντεις πάντες γνώμην ὅτι μάχη οὐκ ἔσται. 2. τοὺς ἄνδρας αὐτοὺς οἷς ὤμνυτε ἀπολωλέκατε. 3. οἱ δὲ ὁπλῖται τοῦ Μένωνος ὑπολειφθέντες καὶ οὐ δυνάμενοι εὑρεῖν τὸ ἄλλο στράτευμα ἀπώλοντο. 4. καὶ ἀποτεμόντες τὰς κεφαλὰς τῶν νεκρῶν, ἐπεδείκνυσαν τοῖς ἑαυτῶν πολεμίοις. 5. τοῖς παισὶν ἐδείκνυσαν ὅ τι δέοι ποιεῖν. 6. ἐνταῦθα λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύᾱν καὶ τὸ δέρμα κρεμάσαι. 7. κώμην δὲ δείξᾱς αὐτοῖς ὅπου σκηνήσουσι ἀπεπορεύθη. 8. Κῦρος τὸν θώρᾱκα ἐνέδῡ.

9. βουλόμενος οὖν Κῦρος ἐπιδεικνύναι τὸ στράτευμα, ἐξέτασιν ποιεῖται ἐν τῷ πεδίῳ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων.

715. 1. Hereupon he expresses his opinion. 2. After him another rose up, pointing out what must be done. 3. He disclosed the plot to the general. 4. They put on their breastplates and ordered arms. 5. Many of the beasts of burden perished.

716. The Greeks charge on the Run, and the Enemy take to Flight.

καὶ οὐκέτι τρία ἢ τέτταρα στάδια διειχέτην τὼ φάλαγγε ἀπ᾽ ἀλλήλων ἡνίκα ἐπαιάνιζόν τε οἱ Ἕλληνες καὶ ἤρχοντο ἀντίοι ἰέναι τοῖς πολεμίοις. ὡς δὲ πορευομένων τῶν Ἑλλήνων ἐξεκύμαινε μέρος τι τῆς φάλαγγος, τὸ ὑπολει-
5 πόμενον ἤρξατο δρόμῳ θεῖν· καὶ ἅμα ἐφθέγξαντο πάντες, καὶ πάντες δὲ ἔθεον. λέγουσι δέ τινες ὡς καὶ ταῖς ἀσπίσι πρὸς τὰ δόρατα ἐδούπησαν, φόβον ποιοῦντες τοῖς ἵπποις. πρὶν δὲ τόξευμα ἐξικνεῖσθαι ἐκκλίνουσιν οἱ βάρβαροι καὶ φεύγουσι. καὶ ἐνταῦθα δὴ ἐδίωκον μὲν κατὰ κράτος οἱ
10 Ἕλληνες, ἐβόων δὲ ἀλλήλοις μὴ θεῖν δρόμῳ, ἀλλ᾽ ἐν τάξει ἕπεσθαι.

NOTES. — 1. **καὶ οὐκέτι . . . ἀλλήλων**: *i.e. the two lines* (dual) *were less than three or four stades* (accusative of *extent of space*, 836) *apart*. This was less than half a mile. — 2. **ἐπαιάνιζον**: *began to sing the paean*, as an omen of victory. — 3. **ἀντίοι ἰέναι**: *to go to meet, to go against*. For the following dative, see 863. — **ὡς δὲ . . . φάλαγγος**: *when, as the Greeks proceeded* (genitive absolute, 516) *a part of the phalanx surged forward* (see **ἐκκῡμαίνω**), literally *billowed out.*— 4. **τὸ ὑπολειπόμενον**: equivalent to οἱ ἄλλοι. See 487, 3 and 4. — 6. **καὶ πάντες δέ**: cf. 667, 7. — **ἀσπίσι**: dative of *instrument* (866).—7. **ἵπποις**: dative of *disadvantage* (861). — 8. **πρὶν . . . ἐξικνεῖσθαι**: *before an arrow reached them* (536), *i.e. before the Greeks were within bowshot.*

LESSON LXXVIII.

Second Perfect System without Tense Suffix.

717. A few verbs have second perfects and pluperfects formed without tense suffix, after the analogy of verbs in μι, the personal endings being added directly to the verb stem.

718. Learn the conjugation of the second perfect system without tense suffix of ἵστημι in 792.

719. 1. The indicative singular does not occur. ἑστώς (for ἑ-στα-ώς) is declined ἑστώς, ἑστῶσα, ἑστός, genitive ἑστῶτος, ἑστώσης, ἑστῶτος, *etc.*

2. Other verbs have forms in the second perfect without suffix. Thus, **βαίνω** (βα), *go*, βεβᾶσι, *they have gone*, participle βεβώς; **θνῄσκω** (θαν), *die*, τεθνᾶσι, *they are dead*, participle τεθνεώς; **δέδια** (δε), *fear* (*cf.* δέδοικα), δεδίασι, *they fear*, participle δεδιώς.

720. Here belongs also the irregular verb in μι, **οἶδα** (ἰδ, εἰδ), *know*, a second perfect with present force, formed without reduplication, the pluperfect (as imperfect) being ᾔδη or ᾔδειν.

721. Learn the conjugation of **οἶδα** in 793.

722. VOCABULARY.

'Ἀρκάς, άδος, ὁ, *an Arcadian.*

καίπερ, conj., *although*, used with the concessive participle.

μισθο-φορά, ᾶς, ἡ (*cf.* μισθο-φόρος), *pay.*

οἶδα, εἴσομαι, *know, know of.*

οἴχομαι, οἰχήσομαι, pres. with perf. force, *have gone, be gone.*

προ-διαβαίνω, *cross first.*

προ-ελαύνω, *ride forward, push on.*

πώ, adv., *yet, up to this time* (enclitic).

συμμαχία, ᾶς, ἡ (*cf.* σύμ-μαχος), *alliance.*

σύν-οιδα, *share in knowledge, be conscious.*

723. 1. οὐκ ἴστε ὅ τι ποιεῖτε. 2. οἱ δὲ ἄλλοι ἕστασαν, ἀποροῦντες τῷ πράγματι.[1] 3. οἱ πολέμιοι οὐκ ἴσασί πω τὴν ἡμετέραν συμμαχίαν. 4. τοὺς προδιαβεβῶτας λαβὼν ᾤχετο. 5. δεδίασι τοὺς στρατιώτας οἱ τὴν μισθοφορὰν ὑπεσχημένοι.[2] 6. ἄνδρες στρατιῶται, τῶν Ἀρκάδων οἱ μὲν[3] τεθνᾶσιν, οἱ δὲ λοιποὶ ἐπὶ γηλόφου τινὸς πολιορκοῦνται. 7. πάρεστι δὲ ὁ σατράπης βουλόμενος εἰδέναι τί πρᾱχθήσεται. 8. οὐ γὰρ ᾔδεσαν οἱ Ἕλληνες Κῦρον τεθνηκότα,[4] ἀλλ' εἴκαζον ἢ διώκοντα οἴχεσθαι[5] ἢ καταληψόμενόν τι προεληλακέναι.[5] 9. τῷ δὲ ἀνδρὶ[6] πείσομαι, ἵνα εἰδῆτε ὅτι καὶ ἄρχεσθαι ἐπίσταμαι. 10. Ὀρόντᾱν προσεκύνησαν, καίπερ εἰδότες ὅτι ἐπὶ θάνατον ἄγοιτο. 11. οἱ δὲ ἄλλοι ἐφέστασαν ἔξω τῶν δένδρων· οὐ γὰρ ἦν ἀσφαλὲς ἐν τοῖς δένδροις ἑστάναι. 12. σύνοιδα γὰρ ἐμαυτῷ πάντα[7] ἐψευσμένος[8] αὐτόν.

724. 1. They said that the generals knew this. 2. Be assured that they will follow you. 3. They were standing among the trees. 4. Whether, then, I shall do what is just,[9] I do not know. 5. I am not willing to go, fearing that he may take me and inflict punishment on (me).

NOTES. — [1] Dative of *cause* (866). — [2] *those who have promised* (487, 3 and 4). — [3] *some* (815). Here in the second member we have a fuller expression οἱ λοιποί, *the rest*, for οἱ δέ, *others.* — [4] Participle in indirect discourse (628). The original thought was Κῦρος τέθνηκε (*first* perfect). — [5] Infinitive in indirect discourse (469). Their thought was ἢ διώκων οἴχεται ἢ καταληψόμενός τι προελήλακε. — [6] Dative following πείσομαι, *I will obey* (860). — [7] Accusative of *specification* (834). — [8] *that I have deceived.* The participle is in indirect discourse (628). — [9] *just (things).* See 806.

725.   **The King's Chariots are useless. Cyrus on the Alert.**

τῶν δ' ἁρμάτων τὰ μὲν δι' αὐτῶν τῶν πολεμίων ἐφέ-
ροντο, τὰ δὲ καὶ διὰ τῶν Ἑλλήνων, κενὰ ἡνιόχων. οἱ δ'
ἐπεὶ προΐδοιεν, διίσταντο· καὶ κατελήφθη τις ὥσπερ ἐν
ἱπποδρόμῳ ἐκπλαγείς· καὶ

5 οὐδὲν μέντοι οὐδὲ τοῦτον
παθεῖν ἔφασαν, οὐδ' ἄλλος
τῶν Ἑλλήνων ἐν ταύτῃ τῇ
μάχῃ ἔπαθεν οὐδεὶς οὐδέν,
πλὴν ἐπὶ τῷ εὐωνύμῳ τοξευ-
10 θῆναί τις ἐλέγετο. Κῦρος δ'
ὁρῶν τοὺς Ἕλληνας νικῶντας

No. 54.   Persian Charioteer.

τὸ καθ' αὑτοὺς καὶ διώκοντας, ἡδόμενος καὶ προσκυνού-
μενος ἤδη ὡς βασιλεὺς ὑπὸ τῶν ἀμφ' αὐτόν, οὐδ' ὡς
ἐξήχθη διώκειν, ἀλλὰ ἐπεμελεῖτο ὅ τι ποιήσει βασι-
15 λεύς. καὶ γὰρ ᾔδει αὐτὸν ὅτι μέσον ἔχοι τοῦ Περσικοῦ
στρατεύματος.

NOTES. — 1. **τῶν ἁρμάτων**: *i.e. of the enemy.* — **τὰ μὲν ... τὰ δέ**: *some
. . . others* (815). — 2. **ἡνιόχων**: genitive following the adjective signifying
want (855). — **οἱ δέ**: *and 'they, i.e. the Greeks.* — 3. **ἐπεὶ προΐδοιεν, διίσταντο**:
opened a gap, whenever they saw them coming on, optative in general supposi-
tion (533, 5). — **κατελήφθη τις ἐκπλαγείς**: *one Greek was caught in his con-
sternation.* He was "rattled" and failed to get out of the way ! — 4. **καὶ
. . . ἔφασαν**: *and yet, in fact* (**καὶ μέντοι**), *they said that not even he suffered
any harm.* For the emphatic negative expressed by the accumulation of
negatives, see the note on 616, 10. *Cf.* the next line. — 10. **τις**: *a single
man.* — 11. **ὁρῶν**: *when he saw* (495, 1). — **νικῶντας, διώκοντας**: participles in
indirect discourse (628). — 12. **ἡδόμενος, προσκυνούμενος**: *concessive* parti-
ciples (495, 6). — 13. **οὐδ' ὡς**: *not even then* (*thus, under these circumstances*).
— 15. **ᾔδει αὐτὸν ὅτι ἔχοι**: *knew him that he had, i.e. knew that he had.*

LESSON LXXIX.

Irregular Verbs in MI, φημί, εἰμί, εἶμι.

726. Certain important verbs follow the analogy of regular verbs in **μι** in the present and second aorist systems, but are more or less irregular in formation. Some of them lack the second aorist system entirely. In their other systems, so far as these occur, they follow verbs in **ω**.

727. Learn the conjugation of **φημί, εἰμί,** and **εἶμι** in 794, 795, 796, and review 166, 168, 169, 467.

728. VOCABULARY.

ἄπ-ειμι (εἶμι), *go off* or *away, depart.*

εἰμί (ἐσ), ἔσομαι, *be.*

εἶμι (ἰ), *go, proceed, march*; pres. indic. with fut. force, *shall go.*

ἔπ-ειμι (εἶμι), *go* or *come on, advance, make an attack.*

κατα-κάω, *burn down, burn up.*

κρίσις, εως, ἡ (cf. κρίνω), *decision, trial.*

πρό-ειμι (εἶμι), *go forward, advance.*

ῥέω (ῥυ), ῥεύσομαι, ἐρρύηκα, ἐρρύην, *flow.*

σαλπίζω (σαλπιγγ), ἐσάλπιγξα, *blow the trumpet.* No. 55.

ὑπ-οπτεύω, ὑπ-οπτεύσω, ὑπ-ώπτευσα, ὑπ-ωπτεύθην (cf. ὄψομαι), *suspect, apprehend.*

φέρω (φερ, οἰ, ἐνεκ, ἐνεγκ), οἴσω, ἤνεγκα and ἤνεγκον, ἐνήνοχα, ἐνήνεγμαι, ἠνέχθην, *bear, bring, carry, produce, endure;* χαλεπῶς φέρω, *be troubled.*

φημί (φα), φήσω, ἔφησα, *say, declare, state.*

φλυᾱρίᾱ, ᾱς, ἡ (cf. φλυᾱρέω), *nonsense;* plur., *bosh.*

χαλεπῶς (cf. χαλεπός), *painfully, with difficulty.*

729. 1. ἀλλ᾽ ἐγώ φημι ταῦτα φλυᾱρίᾱς εἶναι.[1] 2. παρὰ Κύρου οὐδεὶς ἀπῄει πρὸς βασιλέα. 3. καὶ ἐπεὶ ἐσάλπιγξεν,[2]

ἐπήεσαν.   4. οὕτω γὰρ ἀπιόντες ἀσφαλῶς ἂν ἀπίοιμεν.
5. ἐμοί, ὦ ἄνδρες, θυομένῳ ἰέναι³ ἐπὶ βασιλέα οὐκ ἐγίγνετο
τὰ ἱερά.   6. ἄνδρες στρατιῶται, μὴ θαυμάζετε ὅτι χαλεπῶς
φέρω τοῖς παροῦσι πράγμασιν.⁴   7. διὰ μέσου δὲ τοῦ
παραδείσου ῥεῖ ὁ Μαίανδρος ποταμός· αἱ δὲ πηγαὶ αὐτοῦ
εἰσιν ἐκ τῶν βασιλείων.⁵   8. τὰ δὲ πλοῖα οὗτος προϊὼν κατέ-
καυσεν, ἵνα μὴ Κῦρος διαβαίη τὸν ποταμόν.   9. νῦν μὲν
οὖν ἄπιτε,⁶ καταλιπόντες τόνδε τὸν ἄνδρα· ὕστερον δὲ
πάρεστε πρὸς τὴν κρίσιν.   10. καὶ οὔ φασιν ἰέναι,⁷ ἐὰν
μή τις αὐτοῖς χρήματα διδῷ.   11. οἱ δὲ ὑπώπτευον καὶ
τούτου ἕνεκα αὐτὸν λέγειν, ὡς μὴ πεζῇ ἰόντες τὴν τῶν βαρ-
βάρων τι χώραν κακὸν ἐργάζοιντο.⁸

730. 1. Let us go to the men.   2. They made the attack
with a great shout.   3. *I* say, therefore, that you ought to
cross the Euphrates.   4. But (while) saying this, he heard a
noise⁹ going through the ranks.   5. They went frequently to
his headquarters and demanded their pay.

Notes. — ¹ φημί takes the infinitive in indirect discourse (469). — ² *I.e.*
the trumpeter. — ³ *for going.* Construe with οὐκ ἐγίγνετο, *were not favor-
able.*   The infinitive expresses *purpose* (461, 7). — ⁴ Dative of *cause* (866).
— ⁵ It would be more natural to say ἐν τοῖς βασιλείοις, but the speaker
has in mind the flow of the living water *from* the palace. — ⁶ Imperative. —
⁷ *say they will not go.* They said, οὐκ ἴμεν. — ⁸ For two accusatives after
verbs of *doing*, see 839. — ⁹ Use the genitive (846).

731.   The King begins to move, and Cyrus charges.

καὶ πάντες δ᾽ οἱ τῶν βαρβάρων ἄρχοντες μέσον ἔχοντες
τὸ αὑτῶν ἡγοῦνται, νομίζοντες οὕτως ἐν ἀσφαλεστάτῳ
εἶναι.   καὶ βασιλεὺς δὴ τότε μέσον ἔχων τῆς αὑτοῦ στρα-

τιᾶς ὅμως ἔξω ἐγένετο τοῦ Κύρου εὐωνύμου κέρατος. ἐπεὶ
5 δ' οὐδεὶς αὐτῷ ἐμάχετο ἐκ τοῦ ἀντίου οὐδὲ τοῖς αὐτοῦ
τεταγμένοις ἔμπροσθεν, ἐπέκαμπτεν ὡς εἰς κύκλωσιν.
ἔνθα δὴ Κῦρος, δείσᾱς μὴ ὄπισθεν γενόμενος κατακόψειε
τὸ Ἑλληνικόν, ἐλαύνει ἀντίος· καὶ ἐμβαλὼν σὺν τοῖς
ἑξακοσίοις νῑκᾷ τοὺς πρὸ βασιλέως τεταγμένους καὶ εἰς
10 φυγὴν ἔτρεψε τοὺς ἑξακισχῑλίους, καὶ ἀποκτεῖναι λέγεται
αὐτὸς τῇ ἑαυτοῦ χειρὶ Ἀρταγέρσην τὸν ἄρχοντα αὐτῶν.

NOTES. — 1. **μέσον . . . ἡγοῦνται** : *i.e.* they always command their own cen-
tres. — 2. **οὕτως** : *thus*, repeats the thought of *μέσον ἔχοντες τὸ αὐτῶν.* — **ἐν
ἀσφαλεστάτῳ** : *in the safest (position).* — 3. **καὶ βασιλεὺς . . . ὅμως** : *the king
accordingly* (δή) *on this occasion held* (*concessive* participle, 495, 6) *the centre,
but still, etc.* — 5. **αὐτοῦ** : with *ἔμπροσθεν, in front of him* (856). — 6. **ἐπέ-
καμπτεν . . . κύκλωσιν** : *he wheeled round* (literally *against*)*, as if to encircle
(the enemy).* See No. 56. — 8. **ἐλαύνει ἀντίος** : *charged to meet* (*him*). —
11. **αὐτὸς τῇ ἑαυτοῦ χειρί** : *himself with his own hand* (866).

No. 55. The Trumpeter.

LESSON LXXX.

Irregular Verbs in **MI** (continued), ἵημι, κεῖμαι, ἧμαι.

732. Learn the conjugation of ἵημι, *send*, κεῖμαι, *lie*, and κάθημαι, *sit*, in 797, 798, and 799.

733.   VOCABULARY.

Ἀθηναῖος, ā, ον, *from Athens, Athenian.*

ἁμαρτάνω (ἁμαρτ), ἁμαρτήσομαι, ἥμαρτον, ἡμάρτηκα, ἡμάρτημαι, ἡμάρτηθην, *miss the mark, miss, err, do wrong.*

ἀφ-ίημι, *send away, let go or depart.*

δι-ελαύνω, *drive or ride through.*

ἐπί-κειμαι, *lie upon, attack.*

ἵημι (ἑ), ἥσω, ἧκα, εἷκα, εἷμαι, εἵθην, *send, throw, hurl at;* mid., *rush, charge.*

κάθ-ημαι (ἡσ), *sit down, be seated, sit.*

κεῖμαι, κείσομαι, *lie, be laid, lie dead, be situated.*

λίθος, ου, ὁ, *stone.*

προ-ίημι, *send forth;* mid., *give oneself up, entrust, surrender, abandon.*

734. 1. ἐπὶ τοῦ ἅρματος καθήμενος Κῦρος τὴν πορείᾱν ἐποιεῖτο. 2. τοῖς διαβαίνουσιν[1] ἐπικείσονται· οἱ πολέμιοι ὄπισθεν. 3. ἔνθα δὴ λοχᾱγός τις Ἀθηναῖος αὐτοὺς ἐκέλευσεν ἀφῑέναι ἑαυτόν. 4. οὗτοι δέ, ὅτι οὐκ ἤθελε Κῦρος τοὺς φεύγοντας προέσθαι, ἐφοβοῦντο αὐτόν. 5. οὐκ ἄξιόν ἐστι βασιλεῖ ἀφεῖναι τοὺς ἐφ' ἑαυτὸν στρατευσαμένους. 6. κράτιστον ἡμῖν ἵεσθαι ὡς τάχιστα ἐπὶ τὸ ἄκρον. 7. ἐντεῦθεν ἐπορεύθησαν πρὸς τεῖχος ἔρημον μέγα, πρὸς τῇ πόλει κείμενον. 8. τῶν δὲ Μένωνος στρατιωτῶν ξύλα σχίζων τις, ὡς εἶδε Κλέαρχον διελαύνοντα, ἵησι τῇ ἀξίνῃ·[2] καὶ οὗτος μὲν αὐτοῦ[3] ἥμαρτεν· ἄλλος δὲ λίθῳ[4] καὶ ἄλλος, εἶτα πολλοί, κραυγῆς γενομένης.

735. 1. Straightway they rushed into the boats. 2. He says he will never abandon his friends. 3. But crying out,[5] " I see the man," he rushed upon him. 4. The enemy were encamped in the open road. 5. They surprised the guards sitting round a fire.

NOTES. — [1] The dative follows ἐπικείσονται (865). — [2] Dative of *instrument* (866). — [3] The genitive follows verbs signifying *to hit* or *miss* (845). — [4] Sc. ἵησι. — [5] εἰπών.

736.   Cyrus attacks the King in Person, and is slain.

ὡς δ' ἡ τροπὴ ἐγένετο, διασπείρονται καὶ οἱ Κύρου ἑξακόσιοι εἰς τὸ διώκειν ὁρμήσαντες, πλὴν πάνυ ὀλίγοι ἀμφ' αὐτὸν κατελείφθησαν. σὺν τούτοις δὲ ὢν καθορᾷ βασιλέᾱ καὶ τὸ ἀμφ' ἐκεῖνον στῖφος· καὶ εἰπών, " Τὸν
5 ἄνδρα ὁρῶ," ἵετο ἐπ' αὐτὸν καὶ παίει κατὰ τὸ στέρνον καὶ τιτρώσκει διὰ τοῦ θώρακος· παίοντα δ' αὐτὸν ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν βιαίως. καὶ ἐνταῦθα ἐμάχοντο καὶ βασιλεὺς καὶ Κῦρος καὶ οἱ ἀμφ' αὐτοὺς ὑπὲρ ἑκατέρου· καὶ τῶν μὲν ἀμφὶ βασιλέᾱ ἀπέθνῃσκον
10 πολλοί, Κῦρος δὲ αὐτὸς ἀπέθανε καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτὸν ἔκειντο ἐπ' αὐτῷ. οὕτως οὖν ἐτελεύτησε Κῦρος, ἀνὴρ ὢν Περσῶν τῶν μετὰ Κῦρον τὸν ἀρχαῖον γενομένων βασιλικώτατός τε καὶ ἄρχειν ἀξιώτατος.

NOTES. — 2. εἰς τὸ διώκειν : *in pursuit. Cf.* 674, 8. — πλήν : here a conjunction, *except.* — 4. στῖφος : the king's immediate attendants, who now rallied round him in a compact body (στῖφος) for his protection. — 6. αὐτόν : *i.e.* Cyrus. — 12. Περσῶν . . . γενομένων : the Persians meant are those of the royal line born (γενομένων) after the time of Cyrus the Great.

I. — First position of Cyrus facing down stream.

II. — First position of King facing up stream.

III. — Second position of King facing down stream.

IV. — Second position of Greek Troops facing up stream.

1. Paphlagonian Cavalry.

2. Greek light-armed Troops.

3. Greek Phalanx.

4. Native Troops of Cyrus.

5. Position of Cyrus.

6. Cyreian Camp.

7. Position of King.

8. Troops of Tissaphernes.

9. Troops of Gobryas.

10. Troops of Arbaces.

11. Hill.

12. Cunaxa.

The dotted lines indicate the scythe-bearing chariots, posted in front of the Persian forces in both armies.

No. 56.   Position of the Troops at Cunaxa.

APPENDIX.

Contraction of Vowels.

737. 1. Two vowels which can form a diphthong simply unite in one syllable.

Thus, εὑρέϊ, εὕρει (747–749); κρέαϊ, κρέαι (747); ἀληθέϊ, ἀληθεῖ (752).

2. Two *like* vowels (*i.e.* two **a** sounds, two **e** sounds, or two **o** sounds, without regard to quantity) unite to form the common long (**ᾱ, η,** or **ω**).

Thus, μνάᾱ, μνᾶ (742); ποιέητε, ποιῆτε (782); δηλόω, δηλῶ (783). Exception : κρέαα, κρέα (747).

a. But **ε + ε** gives **ει,** and **ο + ο** gives **ου.**

Thus, ποιέετε, ποιεῖτε (782); εὕρεε, εὕρει, τριήρεες, τριήρεις (747–749); ἀληθέε, ἀληθεῖ, ἀληθέες, ἀληθεῖς (752); δηλόομεν, δηλοῦμεν (783); νόος, νοῦς (742); ἁπλόος, ἁπλοῦς (751).

3. When an **o** sound precedes or follows an **a** or an **e** sound, the two become **ω.**

